Ἤ,τε Ὑμετέρα θεοφρούρητος Πανιερότης διὰ τῆς ἰδίας πασιδήλου καὶ προδήλου πολυπειρίας ποιησάτω τῶν ἐς τόδε τὴν ἀδέκαστον κρίσιν, ἅτινα οὐχ ἁπλῶς ἀλλὰ μετὰ πολλοὺς καὶ νυχθημερινοὺς πόνους, καὶ μετὰ τὴν ἀνάπτυξιν διαφόρων καὶ παμπληθῶν συγγραφέων, ὀρθοδόξων τε καὶ παπιστῶν, πρὸς κοινὴν τοῦ ἑλληνικοῦ γένους ὠφέλειαν εἰς ἓν συνάψας ψήφῳ τῇ Αὐτῆς καθυπέβαλον· μηδὲ μεφθήτω μου τὸ τοῦ βιβλίου μῆκος· εἰ καὶ γὰρ ἐν ταύτῃ βραχυλόγως διηγήθην ὅσα περ ἄλλοι διεσπαρμένα ἐν πολυφύλλοις βιβλίοις πολυλόγως τῇ μνήμῃ παρέδωκαν περὶ τῶν ὑπὸ τῶν ἀοιδίμων πατριαρχῶν τῆς Κωνσταντινουπόλεως πεπραγμένων ἐν ἔτεσιν ὅλοις 1207, ἀλλ' οὖν ἐκκλησιαστικὴν ὁπώσποτε ἱστορίαν συνάπτων, ἐν ταὐτῷ καί τινα ἐν τῇ ἱστορίᾳ ἀμφιβαλλόμενα κατέλυσα ψεύδη τῶν παπιστῶν συγγραφέων, καὶ ἐσημείωσα καὶ πολλὰ τῶν ἐν τῇ ἐκκλησίᾳ τῆς Ῥώμης,ἢ μᾶλλον συναγωγῇ, γεγονότων, ὧν ἡ γνῶσις ἢ ταῖς ἡμῶν συντείνει ὑποθέσεσιν, ἢ τὴν ἐκείνης παρίστησι καινοτομίαν, ἀσέβειάν τε καὶ ἀχρειότητα, ἅπερ μου καὶ μάλα τὴν βίβλον, ὡς οὐκ ἤθελον, εἰς ὄγκον οὐ μικρὸν ἐξωγκώσαντο. Ἀνάγκῃ οὖν καθυπήχθην εἰς τοῦτο· εἰ γὰρ τὰ τοιαῦτα παρέδραμον, γέλωτα ἂν πρεπόντως παρ' ὑμῖν τοῖς εἰδόσιν ὠφλίσκανον, ἢ ὡς μὴ εἰδὼς τὰ σκολιὰ, ἢ ὡς μὴ ἱκανὸς διαλύσαι αὐτὰ, ἀνελεῖν τε τὰ ψεύδη, καὶ τὴν φίλην καὶ ἁγίαν ἀλήθειαν παπιστικοῖς προκαλύμμασι κεκαλυμμένην ἀποκαλύψαι καὶ θεῖναι τὸν λύχνον ἐπὶ τὴν λυχνίαν.

Ὅ,τι καὶ ἂν εἶναι, ἐπειδὴ καὶ τὰ πρὸ τούτων πέντε, ἐν ἔτεσιν ὅλοις χιλίοις πρὸς τοῖς δέκα καὶ ἐννέα πραγματευόμενα, ἀπεκομίσαντο τὴν λευκὴν παρὰ τῷ Μακαριωτάτῳ ἀρχιεπισκόπῳ Κύπρου Κυρίῳ Φιλοθέῳ καὶ τῷ Μακαριωτάτῳ πατριάρχῃ Ἱεροσολύμων Κυρίῳ Παρθενίῳ καὶ τῷ Πανιερωτάτῳ μητροπολίτῃ Ἐφέσου Κυρίῳ Ναθαναὴλ τῷ Καλλονάρῃ, καὶ τῷ Μακαριωτάτῳ Ἀλεξανδρείας Κυρίῳ Ματθαίῳ, ἄλλοις τε ἐλλογίμοις ἀνδράσιν, ἴσως καὶ τάδε τὰ ἀνὰ χεῖρας τῆς αὐτῆς ἀξιωθήσονται ψήφου παρά τε αὐτοῖς τοῖς σοφωτάτοις ποιμέσι καὶ παρὰ τῇ Αὐτῆς Πανιερότητι.

Καὶ δῆτα προσμένων τὴν ἀδέκαστον Αὐτῆς κρίσιν ὑπόσχομαι πῶς θέλω καὶ ἀγαπῶ νὰ εἶμαι τῇ ἀληθείᾳ μέχρι τελευταίας ἀναπνοῆς τῆς ὑμετέρας Πανιερότητος ταπεινὸς καὶ κατὰ πάντα πρό-

θυμος δοῦλος καὶ ὑπὸ τῶν ἁγίων καὶ θεοπειθῶν Της εὐχῶν στηριζόμενος,

Ἀθανάσιος Κομνηνὸς Ὑψηλάντης ὁ ἐκ Τραπεζοῦντος ὁρμώμενος, Κωνσταντινουπολίτης, καὶ ἀρχιατρὸς τοῦ Ῥαγὴπ-Μεχμὲτ-πασσᾶ, τοῦ καὶ τανῦν ἡγεμάνος τῆς ἐν τῇ Συρίᾳ Βερρόιας.

Τέλος τοῦ ΕΚΤΟΥ βιβλίου, πέρας εἰληφότος ἐν τῇ Βερρόιᾳ τῆς Συρίας τῇ τανῦν τουρκιστὶ Χαλέπι καλουμένῃ, ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ πεντηκοστῷ ἕκτῳ, κατὰ μῆνα Δεκέμβριον.

Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου, τοῦ καὶ μεγάλου Σκευοφύλακος τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐκκλησιαστικῶν καὶ πολιτικῶν τῶν εἰς δώδεκα

ΤΟ ΕΒΔΟΜΟΝ,

Περιέχον τὰ ἀπὸ τοῦ πατριάρχου Μιχαὴλ τοῦ Αὐτοριανοῦ καὶ τῶν μετ' αὐτὸν μέχρις ἁλώσεως τῆς Κωνσταντινουπόλεως.

(Ἔ. σ. 1208—1453.)

(σελ. χειρογρ. 1—198).

. . . . . .

Τέλος τοῦ ΕΒΔΟΜΟΥ βιβλίου, πέρας εἰληφότος ἐν Κωνσταντινουπόλει εἰς τὸ Φανάρι, ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ πρώτῳ, ὄντος Ἐπιτρόπου τῆς ὀθωμανικῆς βασιλείας τοῦ ὑπερτάτου Ῥαγὴπ-Μεχμὲτ-πασσᾶ, τοῦ καὶ εὐμενεστάτου αὐθέντου μου.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

Τῷ φιλαλήθει καὶ ὀρθοδόξῳ ἀναγνώστῃ.

Δυστυχὴς ἱστορικὸς, ὁποῦ ἀναδυσώμενος συγγραφὴν τῆς κατὰ τὴν πατρίδα ἀπὸ ἔτους 1453 ἐκκλησιαστικῆς ἱστορίας καὶ τῆς ἐφ' ὅρου ζωῆς του ἐδιάσθη νὰ μὴ γράψῃ πρὸς χάριν, νὰ μὴ παρατρέξῃ τὰ ἀτοπήματα καὶ νὰ μὴ συσκιάσῃ τὰ κακουργήματα εὐαρίθμων τινῶν, μόνον καὶ μόνον διὰ νὰ ἀληθεύσῃ καὶ διὰ νὰ μὴν

ἀκρωτηριάσῃ τὸ σύγγραμμα, λυπεῖται ὑπερβολικὰ μὲ τὸ νὰ προβλέπῃ ἐναργῶς τὸ, ὅτι θέλει ὀνομασθεῖ παρὰ τοῖς μετόχοις τῶν ἀποκρυμμάτων καὶ τοῖς συνηγόροις ἐκείνων ἢ ἱερωσυνοφάγος ἢ στηλιτευτικὸς καὶ σατυρικὸς μᾶλλον παρὰ ἱστορικός. Γνωρίζει τὴν αἰτίαν τῆς σιωπῆς τῶν ἐν τῷ Γένει ἐς τόδε φιλομαθῶν, ἱκανῶν μὲν συγγράψαι τὰς κατὰ τοῦσδε τοὺς χρόνους, ἀποδυσαμένων δὲ τὸν ἀγῶνα ἵνα μὴ παραδῶσι γραφῇ ἅπερ ἀγνοούμενα μᾶλλον ὠφελήσει ἢ γιγνωσκόμενα· οἵτινες τοῦτο κρίναντες ὅτι γε ἀφήμαρτον τῆς ἀληθείας ἀναγκαῖον καὶ δεῖξαι.

Σχολεῖόν ἐστιν ἡ ἱστορία ἐκπαιδεῦον ἅπαντας τὸ καλὸν, καὶ μὲ τὰς εὐλογίας τὰς πρὸς τοὺς εὐποιοῦντας καὶ μὲ τὰς κακολογίας τὰς πρὸς τοὺς κακουργοῦντας· αἱ περιγραφόμεναι πράξεις ἀμφοτέρων διεγείρουσι τοὺς ἀναγνώστας εἰς τὸ νὰ ἀποφεύγωσι τὰ ἐλαττώματα τῶν δευτέρων καὶ νὰ παραμαρτῶσι τὰ ἀποτερήματα τῶν πρωτέρων. Εἰς αὐτὸ τὸ σχολεῖον παιδευθέντες ἐγένοντο τοιοῦτοι οἱ Μακεδόνες Ἀλέξανδροι, οἱ Πύρροι, Ἀννίβαι οἱ Καρχηδόνιοι, οἱ Σκηπίωνες, οἱ Καίσαρες καὶ οἱ Ἀλέξανδροι ἐν τοῖς πολιτικοῖς, οἱ Εὐστάθιοι, οἱ Μελέτιοι, οἱ Γρηγόριοι, οἱ Ἀμβρόσιοι καὶ ἄλλοι ἀναρίθμητοι ἐν τοῖς ἐκκλησιαστικοῖς· σχολεῖον ἀναγκαῖον εἰς τοὺς βασιλεῖς, τοὺς ὁποίους παιδεύει τὸ νὰ ἀποκαταστήσωσι τοὺς ὑποχειρίους αὐτῶν κρείττους τε καὶ εὐτυχεστέρους· ὠφέλιμον εἰς τοὺς ὀφφικιαλίους καὶ ἀξιωματικοὺς, τοὺς ὁποίους ἀποκαθίστησι προμηθεῖς τε καὶ προγνώστας τῶν μελλόντων μὲ τὴν ἐντελῆ καὶ ἀδέκαστον σύγκρισιν τῶν παρόντων· χαριέστατον καὶ εἰς τοὺς ἁπλῶς ἰδιώτας, ὑπ' ὄψιν τῶν ὁποίων προτίθεται τὰς ἀριστοκρατείας, τὰ ῥηγάτα καὶ τὰς βασιλείας, καὶ δίδωσιν αὐτοῖς περιέργους εἰδήσεις διὰ τὴν ἀρχὴν, αὔξησιν, ἀκμὴν, παρακμὴν, μεγαλειότητα, ἀδυναμίαν, ἀρετὰς καὶ κακίας αὐτῶν· πολλῷ δὲ μᾶλλον καὶ ἀναγκαῖον καὶ ὠφέλιμον καὶ χαριέστατον τὸ σχολεῖον αὐτὸ εἰς τοὺς ἐκ τοῦ ἱερατικοῦ καταλόγου, τοὺς ὁποίους παιδεύει νὰ ἀποφεύγωσι τὰς αἱρέσεις, τὰς ἐπιπηδήσεις εἰς τοὺς θρόνους, τὰς αἰσχροκερδείας τε καὶ συμωνιακοὺς τρόπους, μὲ τὰς κατηγορίας τῶν εἰς ἐκεῖνά ποτε τὰ ἀποτήματα ἐξοπλάντων. Δεσμὸς ἄρα καὶ χαλινὸς ἀπὸ τῆς κακίας προφυλακτικὸς ἡ τῶν ἀποτημάτων περιγραφὴ, διεγείρουσα πάντας τοὺς νοῦν ἔχοντας πρὸς τὴν αὐτῶν ἀποχήν. Ὅθεν πάγω ἐν τῷ ἀνὰ χεῖρας εἴ τινας ἐπιπηδήσεις τινῶν παρανόμους ἐπὶ τοῦ Οἰκουμενικοῦ θρόνου, ἢ φθορὰς τε καὶ ἁρπαγὰς αὐτῶν τῇ μνήμῃ παρέδωκα, καὶ εἰ ἄλλων συνωμοσίας κληρικῶν τε καὶ ἀρχόντων συνάμα καὶ ἐκκλησιαστικῶν, ἐπὶ

προφάσεσι μικρολόγοις πρὸς καταβιβασμὸν Οἰκουμενικοῦ πατριάρχου μόνον καὶ μόνον δι' ἴδιον κέρδος καὶ ἴδια τέλη, διέσυρα, καὶ εἰ ἐνίους αἰσχροκερδείας κατέγνωκα καθαπτόμενος, ὁ μὲν συνήγορος τῶν τοιούτων εἰπάτω ὅ,τι καὶ ἂν θέλῃ· καὶ γὰρ « οὐ φροντὶς Ἱπποκλείδῃ, » καὶ γνωστὸν τὸ τῆς παροιμίας, « ζαφελὴς ζαφελεῖ καλῶς ὁμιλεῖ· » σὺ δ' ὁ φιλαλήθης καὶ ζηλωτὴς τῆς ὀρθοδοξίας ἀναγνώστης εὖ οἶδ' ὅτι καθὸ τοιοῦτος οὐκ ἂν εἴποις με φιλοκατήγορον· μᾶλλον δὲ προσθέσεις τὸ, ὁ κατηγορεῖσθαι μὴ θέλων ἐκκλησιαστικὸς ἀφιστάσθω τοῦ λοιποῦ τῶν τοιούτων ἀτοπημάτων, ἵνα ἐκθειάζηται γραφικῶς καὶ ὑπερεπαινῆται, ὥσπερ καὶ οἱ ἐν τῷ ῥηθέντι διαστήματι ὑπερεπαινούμενοι, οἱ καλῶς δηλαδὴ τὴν ἐκκλησίαν τοῦ θεοῦ διοικήσαντες πατριάρχαι καὶ οἱ συμβοηθήσαντες αὐτοῖς ἀρχιερεῖς τε καὶ λαϊκοί· οὐδὲ γὰρ ἐπιλείψουσί ποτε τῷ θεῷ στρατιῶται πρέποντες ἐκκλησίαις. Καὶ τοίνυν οἱ ἐς τόδε τὴν ἐκκλησίαν τοῦ θεοῦ ζημιώσαντες καὶ τῇ ὑψηλοτάτῃ περιοπῇ τοῦ Οἰκουμενικοῦ θρόνου ἀπᾴδοντα κατατολμήσαντες, λαμβανέτωσαν ἐνταῦθα τὴν περιγραφὴν τῶν ἀτοπημάτων αὐτῶν, οἱονεὶ ἐπίχειρά τινα τῆς ἰδίας μωρίας. Ἐγὼ δὲ εἰ πρὸς ἀποχὴν τῶν τοιούτων κακῶν τοῦ λοιποῦ εἶπα καὶ ἐλάλησα τὴν ἀλήθειαν ἁμαρτίαν οὐκ ἔχω, καὶ ἵλεως γένοιτό μοι ἐν πᾶσιν ὁ Κύριος.

ΒΙΒΛΙΟΥ ΕΝΔΕΚΑΤΟΥ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ, ΤΑ ΠΕΡΣΙΚΑ.

(σελ. χειρογρ. 1—152)

. . . . . .

Ἐξεπονήθη τὰ Περσικὰ ταῦτα ἐν τῷ Καΐρῳ τῆς Αἰγύπτου, ἔτει σωτηρίῳ ᾳψμέ, ὑπὸ τοῖς οἰωνοῖς τοῦδε μοι τοῦ Μαικήνατος Ῥαγὴπ-Μουχαμὲτ-πασσᾶ, τοῦ καὶ Αἰγύπτου ἐπάρχου, διὰ τῆς ἀναγνώσεως τῶν τε ἐν τῇ βιβλιοθήκῃ τοῦ Ἀποστολικοῦ πατριαρχικοῦ θρόνου τῆς Ἀλεξανδρείας βιβλίων, τῇ σωζομένῃ ἐν τῷ πατριαρχείῳ τῷ ἐν τῇ προῤῥηθείσῃ μεγαλοπόλει Καΐρῳ, καὶ τῶν ἐν τῇ βιβλιοθήκῃ τῶν Σιναϊτῶν τῇ σωζομένῃ ἐν τῷ μετοχίῳ αὐτῶν τῷ ἐν τῇ Τζουβανίᾳ, (ἥτις ἐστὶν ἁγυιά τις τοῦ Καΐροω,) μετὰ καὶ ἄλλων πολλῶν ἀλλογλώττων.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ, ΤΑ ΑΡΑΒΙΚΑ.

(σελ. χειρογρ. 1—206).

. . . . . .

Εἴληφε πέρας τῷ ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ, κατὰ μῆνα Μάρτιον, ἐν τῇ κατὰ τὸ Φανάριον τῆς Κωνσταντινουπόλεως νεοδμήτῳ οἰκίᾳ διὰ τὴν συμβᾶσαν πυρκαϊάν.

ΒΙΒΛΙΟΥ ΔΩΔΕΚΑΤΟΥ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ, ΤΑ ΦΡΑΝΤΖΕΖΙΚΑ.

(σελ. χειρογρ. 1—160).

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ, ΤΑ ΓΕΡΜΑΝΙΚΑ.

(σελ. χειρογρ. 1—68.)

ΑΘΑΝΑΣΙΟΥ ΚΟΜΝΗΝΟΥ ΥΨΗΛΑΝΤΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΠΟΛΙΤΙΚΩΝ

ΤΩΝ ΕΙΣ ΔΩΔΕΚΑ

ΒΙΒΛΙΟΝ Η' Θ' ΚΑΙ Ι'

ΗΤΟΙ

ΤΑ ΜΕΤΑ ΤΗΝ ΑΛΩΣΙΝ

(1453—1789).

ΑΘΑΝΑΣΙΟΥ ΚΟΜΝΗΝΟΥ ΥΨΗΛΑΝΤΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΤΕ ΚΑΙ ΠΟΛΙΤΙΚΩΝ

ΤΩΝ ΕΙΣ ΔΩΔΕΚΑ

ΤΟ Η',

ΠΕΡΙΕΧΟΝ ΤΑ ΑΠΟ ΑΛΩΣΕΩΣ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΜΕΧΡΙ ΤΗΣ ΑΠΟΒΙΩΣΕΩΣ ΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΑΛΛΙΝΙΚΟΥ ΤΟΥ Β'
ΤΟΥ ΑΠΟ ΠΡΟΥΣΗΣ ΤΟΥ ΚΑΙ ΑΚΑΡΝΑΝΟΣ
ΕΠΙΛΕΓΟΜΕΝΟΥ

ΕΝ ΔΙΑΣΤΗΜΑΤΙ ΕΤΩΝ 248.

ΚΕΦ. Α'.

Τὰ ἐπὶ τῆς πατριαρχείας Γενναδίου τοῦ Σχολαρίου.

Ἔτει σωτηρίῳ 1453, καὶ τοῦ Χιτζρὲ 857.

Ἁλούσης τῆς Κωνσταντινουπόλεως ἔτει τοῦ Χιτζρὲ 857 τῇ κή τῆς σελήνης Δζεμάζουλ ἐβὲλ καὶ σωτηρίῳ 1453 Μαΐου τῇ κθ', ἡμέρᾳ τρίτῃ καθ' ἣν ἑωρτάζετο ἡ ἑορτὴ τῆς Πεντηκοστῆς, μετὰ τριήμερον διάστημα καταπαυσάσης τῆς μιαιφονίας τε καὶ λαφυραγωγίας, καὶ γαλήνης οἱονεὶ εἰρηνοποιοῦ ἀναφανείσης, ὁ νικητὴς σουλτὰν Μεχμὲτ, σκοπούμενος τὴν αὔξησιν τῶν τῆς ἐρημωθείσης ἤδη πόλεως κατοικητῶν, ἐνέδωκε τοῖς ἐν τῇ πόλει καταλειφθεῖσι χριστιανοῖς ἐπιτελεῖν ἐλευθέρως τὰ τῆς ἐκκλησίας αὐτῶν ἔθιμα, καὶ μαθὼν ὅτι χρήζουσι πατριάρχου ἐκέλευσε τοῖς χριστιανοῖς προχειρίσασθαι ὃν ἂν ἐθέλοιεν, καὶ ὑπέσχετο ἐπικυρῶσαι προγράμματι τὴν ἐκείνου ἐκλογὴν καὶ δοῦναι αὐτῷ προνόμια τοῦ πατριαρχεύειν ἀκωλύτως καὶ παραπλησίως τοῖς προκατόχοις αὐτοῦ· ὥρισε δὲ ταῦτα πολιτευόμενος ἵνα ἑκασταχόθεν ἐκεῖσε χριστιανοὶ ἀθροισθῶσιν. Ἀμέλει τοι συνόδου τοπικῆς γενομένης, ψηφίζονται ὡς ἔθος Γεώργιον τὸν Σχολάριον, ἄνδρα ἐπ' ἀρετῇ

καὶ σοφίᾳ διαβεβοημένον, Γεννάδιον μετονομάσαντες· ὅν τινα καὶ μεταπεμψάμενος ὁ σουλτάνος ἔνδον τῶν ἀνακτόρων δέδωκεν αὐτῷ ἰδίαις χερσὶ τὴν ποιμαντικὴν ῥάβδον ἀργυρᾶν τε καὶ τιμαλφῆ· δέδωκε δὲ καὶ νομίσματα χρυσᾶ, καὶ ἐπειπὼν τὸ, «πατριάρχευε ἐν εἰρήνῃ καὶ ἔχε τὴν φιλίαν » Ἡμῶν ἐν οἷς ἂν χρήζοις καὶ ἐθέλοις ἔχων πάντα τὰ προνόμια τῶν προ» κατόχων σου», ἐπεβίβασεν αὐτὸν ἵππου λαμπρῶς ἐστολισμένου καὶ ἀπέστειλεν εἰς τὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων ὅν τινα δέδωκεν αὐτῷ εἰς κατοικίαν, πατριαρχεῖον οὖσαν καὶ πρότερον.

Πᾶσαι οὖν αἱ ἐκκλησίαι τῆς Κωνσταντινουπόλεως καὶ τῶν ὑποκειμένων ἐπαρχιῶν ὑπετάγησαν τῷ πατριάρχῃ διὰ τοῦ δοθέντος βασιλικοῦ προγράμματος, καὶ πολλῷ μᾶλλον ἢ τοῖς πρὸ αὐτοῦ πατριαρχεύσασι.

Τὸ Πουργάζι καὶ ἡ Συλληβρία ἐθελουσίως ὑποτάσσονται τῷ νικητῇ σουλτάνῳ. Ἐν τῇ μητροπολιτικῇ ἐκκλησίᾳ τῆς Συλληβρίας ἐσώζοντο τότε τὰ λείψανα τῆς Ἁγίας Εὐφημίας.

Ὑπετάγησαν εἶτα τῷ σουλτάνῳ καὶ ἄλλοι κωμοπόλεις αἱ πλησιόχωροι.

—

Ἔτει σωτηρίῳ 1455.

Τὸν Ἀντιοχείας Μιχαὴλ τὸν Δ', θανόντα τῷ ἔτει 1449, διεδέχθη Δωρόθεος ὁ Β', ὃν πατριαρχεύσαντα ἔτη ἓξ καὶ θανόντα τῷδε τῷ ἔτει 1455 διεδέχθη Μάρκος ὁ Γ', καὶ πατριαρχεύει ἔτη εἴκοσι ἐννέα.

Θνήσκει ὁ πάπας Νικόλαος ὁ Ε', ὅστις ἐραστὴς ὢν τῶν ἐπιστημῶν, πάσας τὰς ἑλληνικὰς βίβλους, ἀφ' ὅλης τῆς Ἑλλάδος προσενεχθείσας τῇ Λύσει, κομίσας εἰς τὴν Ῥώμην μετέφρασε λατινιστὶ παρὰ Γεωργίου τοῦ Τραπεζουντίου, Λαυρεντίου τοῦ Βάλα, Πέτρου τοῦ Κανδίδου, Γεωργίου τοῦ Καστελλάνου καὶ Δημητρίου τοῦ Γραικοῦ, οἷς ἅπασι μισθοὺς καὶ βραβεῖα δαψιλῶς ἐχορήγει. Ψέγεται δὲ λίαν ὅτι Κωνσταντίνῳ τῆς Κωνσταντινουπόλεως ὑστάτῳ βασιλεῖ ταχεῖάν τινα ἐπικουρίαν αἰτοῦντι κατὰ τῶν Τούρκων ὑπεσχέθη δοῦναι ἐὰν ὑπογράψῃ τοῖς ἀρεσκομένοις τῷ πάπᾳ, ὡς ὑπέγραψεν ἐν Φλωρεντίᾳ καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης· καὶ ὀνειδίσας τελευταῖον ὡς ἀποχωρήσαντι τῆς ῥωμαϊκῆς ἐκκλησίας οὐδεμίαν αὐτῷ δέδωκε βοήθειαν ἢ διὰ χρημάτων ἢ διὰ στρατιωτῶν.

Τὸν Ἱεροσολύμων Ἰωακεὶμ πατριαρχεύσαντα ἔτη δέκα καὶ θανόντα διεδέχθη τῷ ἔτει 1455 Ἀθανάσιος ὁ Γ', ὅστις ἔλαβε παρὰ τοῦ Φατίχη σουλτὰν Μεχμέτη, μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, χάτι-σερίφι διὰ ὅλα τὰ προσκυνήματα τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, σωζόμενον μέχρι τοῦδε ἐν τῷ πατριαρχικῷ θρόνῳ τῶν Ἱεροσολύμων μετὰ καὶ ἄλλων χάτι-σεριφίων τῶν ὕστερον ἐκδοθέντων.

—

Ἔτει σωτηρίῳ 1456.

Ὁ σουλτάνος ἐκστρατεύει κατὰ τοῦ ἡγοῦ τῆς Οὐγγρίας Λαδισλάου

υἱοῦ τοῦ Ἀλβέρτου τοῦ τῶν Νεμτζῶν Ἰμπεράτορος, καὶ κατατροποῦται τοῦτον, ὅστις κἀν τῷ πολέμῳ ἐτραυμματίσθη. Εἶτα ἐκστρατεύει κατὰ τοῦ Βελιγραδίου, καὶ πολιορκήσας αὐτὸ ἐπὶ πολὺ ἄπρακτος ἀνεχώρησεν ἐκεῖθεν πολλῇ τῇ φθορᾷ τοῦ ἰδίου στρατοῦ, χειμῶνος ἐπιγενομένου. Τῷ δ' αὐτῷ ἔτει περιέτεμε τοὺς υἱούς του Μουρὰτ καὶ Βαγιαζὴτ, ἑορτάσας μεγάλως τὴν περιτομήν.

—

Ἔτει σωτηρίῳ 1457.

Ἐκστρατεύει κατὰ τοῦ Μωρέως, καταπολεμεῖ τοὺς Ῥωμαίους καὶ διώκει ἀπὸ τὸ Ἑξαμίλι, κρημνίζει τὰ κάστρη καὶ ὀχυρώματά τους· καὶ γίνεται ταῦτα τῶν δύο ἀδελφῶν Παλαιολόγων Δεσποτῶν τοῦ Μωρέως τῇ διαφωνίᾳ, ὧν ὁ Δημήτριος εἶχε γράψει τῷ σουλτάνῳ τὸ, «Ἔλα νὰ πάρῃς τὸν τόπον, νὰ ἡσυχάσωμεν». Μετὰ ταῦτα ὁ σουλτάνος ἐλεηλάτησε τὴν νῆσον τῆς Κερκύρας.

Τὸν Ἱεροσολύμων Ἀθανάσιον πατριαρχεύσαντα ἔτη δύο καὶ θανόντα διεδέχθη Γρηγόριος ὁ Β' τῷδε τῷ ἔτει.

—

Ἔτει σωτηρίῳ 1458.

Ὁ σουλτάνος ὑποτάσσει τὴν Κόρινθον καὶ πᾶσαν τὴν Πελοπόννησον ὑποτελεῖ ποιεῖ, ἐξώσας ἐκεῖθεν Θωμᾶν τὸν Παλαιολόγον.

Θνήσκει ὁ πάπας Κάλλιστος ὁ Γ' καταλιπὼν 150 χιλ. νομισμάτων, ἅπερ ζητήσας ἔλαβε παρὰ τῶν χριστιανῶν διὰ νὰ χρησιμεύσωσι πρὸς τὴν κατὰ τῶν Τούρκων ἐκστρατείαν. Ἔγεινε δὲ μετ' αὐτὸν πάπας τῆς Ῥώμης Πῖος ὁ Β', Αὐγούστου τῇ ιθ', Αἰνείας Σίλβιος λεγόμενος πρότερον.

—

Ἔτει σωτηρίῳ 1459.

Τὴν Σεμένδριαν εἶχαν ἐλευθερώσει πρότερον οἱ Νέμτζοι, ἀλλ' ὁ σουλτὰν Μεχμέτης ἀνεκτήσατο αὐτήν· καὶ σημείωσαι ὅτι μετὰ τὴν ἅλωσιν τῆς Πόλεως μέχρι τοῦδε τοῦ ἔτους ὑπέταξε πόλεις 40, τὰς μὲν πολέμῳ καὶ μαχαίρᾳ, τὰς δὲ διὰ συνθήκης. Ἐν τῷ διαστήματι τῆς βασιλείας του ὑπέταξε δώδεκα κυριαρχίας, περιεχούσας διακοσίας πόλεις.

Τὸν Ἀλεξανδρείας Φιλόθεον πατριαρχεύσαντα ἔτη εἴκοσι πρὸς τῷ ἑνὶ καὶ θανόντα διεδέχθη τούτῳ τῷ ἔτει Γρηγόριος ὁ Γ'.

Ὁ πατριάρχης Γεννάδιος καταλιπὼν τὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων διὰ τὸ μὴ εἶναι προσοίκους τοὺς χριστιανοὺς, καὶ λαβὼν παρὰ τοῦ σουλτάνου τὸν ναὸν τῆς Παμμακαρίστου πατριαρχεῖον τοῦτον ἀπέδειξεν, ἐν ᾧ εἰσελθών ποτε καὶ ὁ σουλτάνος καὶ τῷ πατριάρχῃ συνδιαλεχθεὶς πλεῖστα περὶ τῆς τῶν χριστιανῶν πίστεως ἐπυνθάνετο.

1459—

Ἀνεγείρει ἐκ βάθρων ὁ σουλτάνος ἐν τῇ Κωνσταντινουπόλει τὸ τανῦν λεγόμενον Ἐσκὶ Σεράϊ.

—

Ἔτει σωτηρίῳ 1460.

Εὑρίσκεται ὑπὸ γῆν ὁ τάφος τοῦ Ἐγιούπι-Ἐνσαρί. Ὁ γὰρ Μουαβιγὲ,ἄραψ, πρῶτος χαλίφης τῶν ἐν τῇ Δαμασκῷ τυραννούντων Χουλεφάϊ-πενι-Οὐμιγὲ ἀπ' αὐτοῦ λεγομένων, συγγενὴς τοῦ προφήτου τῶν Ὀθωμανῶν Μεχμέτη, εἶχε στείλει τὸν υἱόν του Γιαζίδην μαζὴ μὲ τὸν Ἐπι-Ἐγιούπ-Χαλὶδ υἱὸν τοῦ Ζεϊδουλ-Ἐνσαρὶ μὲ παμπληθῆ στρατὸν διὰ νὰ ὑποτάξωσι τὴν Κωνσταντινούπολιν. Καὶ δῆτα φθάσαντες ἤρξαντο τὴν πολιορκίαν τῆς Πολεως ἐπὶ τοῦ βασιλέως Κώνσταντος, ἐγκόνου τοῦ Ἡρακλείου, ἔτει σωτηρίῳ 667, παμπληθεῖ τῇ στρατιᾷ, καὶ παρετάθη ἡ πολιορκία αὕτη ἐπὶ μῆνας ἑπτὰ, ὅτε καὶ ἐν τοῖς Κυζίκου παρεχείμαζον μέρεσι. Φονευθεὶς δὲ ὑπὸ τῶν Ῥωμαίων ἐπὶ τῆς πολιορκίας αὐτὸς ὁ Ἐπι-Ἐγιούπι-Ἐνσαρὶ ἐτάφη ἐκεῖσε· καὶ τανῦν ἀναφανέντος τοῦ τάφου ὠνόμασεν ὁ νικητὴς σουλτὰν Μεχμέτης τὸν τόπον Ἐγιοὺπ, εἰς τιμὴν τοῦ Ἐπι-Ἐγιοὺπ-Χαλὶδ, υἱοῦ τοῦ Ζεϊδουλ-Ἐνσαρὶ, διὰ τὸ ὑπάρξαι αὐτὸν φίλον καὶ γνωστὸν τοῦ Μωάμεθ, καὶ προσέταξε κτισθῆναι ἐκεῖσε τζαμὶ, εἰς τὸν τόπον δηλαδὴ ἔνθα εὑρέθη ὁ τάφος, ὃ καὶ ἐκτίσθη μεγαλοπρεπῶς τε καὶ πολυδαπάνως, καὶ μέχρι τῆς σήμερον σώζεται, καὶ οἱ τῆς βασιλείας ἐπιβαίνοντες σουλτάνοι εὐθὺς ἐκεῖσε πορευόμενοι μετὰ μεγίστης καὶ πολυανθρώπου πομπῆς ζώνονται τὸ ξίφος ἐν τῷ τζαμὶ, ὅπερ ἐστι ταὐτὸν τῷ ποτε παρ' ἡμῖν στέφεσθαι τοὺς βασιλεῖς τῶν χριστιανῶν Ῥωμαίων ὑπὸ τῶν πατριαρχῶν τῆς Κωνσταντινουπόλεως.

Καὶ ταῦτα μὲν ἐπὶ τοῦ σουλτὰν Μεχμέτη. Ἐπὶ δὲ τοῦ Κώνσταντος τότε μετὰ τὸν φόνον τοῦ Ἐγιούπι-Ἐνσαρὶ, θαύματι τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας δεσποίνης ἡμῶν, ἀπειπὼν ὁ Γεζίδης ἀνεχώρησε· καὶ ὁ ἀραβικὸς αὐτὸς στόλος ὑποστρέφων κὰν τῷ Σκυλλαίῳ γενόμενος τῇ θαλάσσῃ οἱ πλείους κατεποντίσθησαν.

Ὁ πατριάρχης Γεννάδιος, προστὰς τοῦ θρόνου ἔτη πέντε καὶ μῆνας ἓξ, καὶ καλῶς τὸν τοῦ Κυρίου λαὸν ποιμάνας, σύνταγμά τε θεολογικὸν συνθεὶς κατὰ τῆς λατινικῆς πλάνης, σύνοδον τελευταῖον συναθροίσας ἑκὼν παρῃτήσατο. Κακεῖθεν μεταστὰς εἰς τὸ τοῦ Προδρόμου μοναστήριον τὸ ἐν τῷ τοῦ Μενοικέως πλησίον τῶν Σερρῶν κείμενον ἀπῆλθεν, ἐν ᾧ τὴν ἡδίστην ἐν ἡσυχίᾳ διαγωγὴν ζήσας τὸν βίον μετήλλαξε.

ΚΕΦ. Β'.

Τὰ ἐπὶ τῆς πατριαρχείας τοῦ Ἰσιδώρου.

Παραιτησαμένου οὖν τοῦ κὺρ Γενναδίου ἀνεβιβάσθη, ψήφῳ καὶ δοκιμασίᾳ τῆς τοπικῆς συνόδου, εἰς τὸν Οἰκουμενικὸν θρόνον ὁ ἱερομόναχος καὶ πνευματικὸς Ἰσίδωρος ὁ ἀπὸ τῶν Ξανθοπούλων, κοινὸς καὶ ἀγαπητὸς πατὴρ παρὰ πάντων τῶν πολιτῶν ἐπιλεγόμενος, χειροτονηθεὶς ἐν τῷ ναῷ τῆς Παμμακαρίστου ὑπό τε τοῦ Ἡρακλείας καὶ τῶν παρευρεθέντων ἀρχιερέων· καὶ λαβὼν παρὰ τοῦ σουλτὰν Μεχμέτη τὰ συνήθη τῶν δώρων ἔτυχε τῆς αὐτῆς δεξιώσεως ὡς καὶ ὁ προκάτοχός του.

—

Ἔτει σωτηρίῳ 1461.

Ἡ Ἀσία ἐγένετο τὸ θέατρον τοῦ πολέμου τῷδε τῷ ἔτει εἰς τὸν σουλτὰν Μεχμέτην. Πρῶτον γὰρ ὑπέταξε τὰς ἐν τῇ Ἀσίᾳ ἐπαρχίας τοῦ Κιζὶλ-Ἀχμέτη, προδοθέντος ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ Ἰσμαὶλ-πέη, ὅστις ὑστερηθεὶς τῶν ἐπαρχιῶν κατέφυγε πρὸς τὸν Οὐζοὺν Χασάνην βασιλεύοντα Περσίας τε καὶ τινος μέρους τῆς Καππαδοκίας. Ἀλλ' ὁ σουλτὰν Μεχμέτης ἀκούσας τὴν καταφυγὴν αὐτὴν ἐφορμᾷ κατὰ τοῦ Οὐζοὺν Χασάνη, καὶ νικήσας τὸν στρατὸν αὐτοῦ ὑποτάσσει τὴν ὑπ' αὐτῷ πόλιν Σινώπην, παράλιον τῆς Παφλαγονίας ἐν τῇ Γαλατίᾳ, ἔνδοξον διὰ τὸ βασίλειον τοῦ Μιθριδάτου καὶ διὰ τὸν τάφον του, ἐκεῖσε γεννηθέντος καὶ ἀνατραφέντος, κτίσμα Μακριτίου τοῦ Κώσου, ἱδρυμένην ἐπὶ αὐχένι χερσονήσου ἐκνευούσης ἐπὶ τὴν θάλασσαν σταδίους 27, καὶ παρὰ τῷ ἰσθμῷ αὐτῆς κεῖται ἡ πόλις, ἔχουσα τὴν θάλασσαν ἐφ' ἑκάτερα τὰ μέρη καὶ λιμένα αὐτοφυῆ, πατρὶς Διογένους τοῦ κυνικοῦ, τελοῦσα ὑπὸ τὸν Ἀμασείας μητροπολίτην. Ἡ χώρα τῆς Σινώπης φέρει χαλκὸν πολύν· ναυπηγοῦσιν ἐκεῖ καὶ νῆας πολεμικὰς οἱ Ὀθωμανοὶ διὰ τὸ εὐπόριστον τῆς ξυλικῆς.

Εἶτα συμφωνεῖ ὁ σουλτὰν Μεχμέτης μὲ τὸν Χουσεΐνην, γαμβρὸν τοῦ βασιλέως τῆς Τραπεζοῦντος Δαβὶδ, καὶ λαμβάνει παρ' αὐτοῦ τὴν ὑπ' αὐτῷ πόλιν Κογιουνλοὺ-Ἰσάρ. Ἀλλ' ἐν ταὐτῷ παραβὰς τὰς συνθήκας πολιορκεῖ τὴν Τραπεζοῦντα. Δαβὶδ ὁ Κομνηνὸς, ὄγδοος βασιλεὺς αὐτῆς ἀπὸ Ἀλεξίου τοῦ Κομνηνοῦ τοῦ πρώτου Τραπεζοῦντος βασιλεύσαντος, καταπειεσθεὶς παρὰ τῆς μητρυιᾶς αὐτοῦ Σαρεχάνης, ἐλθὼν προσεκύνησε τῷ σουλτὰν Μεχμέτῃ σὺν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ, συνισταμένῃ ἀπὸ Παφλαγονίας, Πόντου καὶ μέρους τῆς Καππαδοκίας καὶ ἄλλων ἐπαρχιῶν (ὁ ποταμὸς Ἅλυς, τουρκιστὶ Κιζὶλ-Ἰρμὰκ, χωρίζει τὴν Παφλαγονίαν καὶ Γαλατίαν ἀπὸ τῆς Καππαδοκίας καὶ εἰσβάλλει εἰς τὸν Ἀμινσηνὸν κόλπον τὸν παρὰ τῇ πόλει Ἀμινσῷ, τουρκιστὶ Σαμσὸν-Καλεσὶ λεγομένῃ). Ἐδέχθη αὐτὸν φιλοφρόνως ὁ σουλτὰν Μεχμέτης καὶ μετῴκισεν αὐτὸν σὺν τοῖς ἑπτὰ αὐτοῦ υἱοῖς

καὶ τῇ θυγατρὶ Ἄννῃ εἰς τὴν Κωνσταντινούπολιν καὶ τὴν μὲν Ἄννην ἔγημεν αὐτός, τὸν δὲ Δαβὶδ μετὰ τῶν ἑπτὰ υἱῶν ἐφόνευσεν. Ὁ δὲ ἄλλος τῶν υἱῶν αὐτοῦ Γεώργιος ὁ Κομνηνός, ὁ καὶ εἰδήμων τῆς τουρκικῆς γλώσσης, εἶχε προπεμφθεῖ τῷ ῥηθέντι Οὐζοὺν-Χασάνῃ, τῷ καὶ ἀνδρὶ τῆς θείας αὐτοῦ Αἰκατερίνης.

Σύμπασα οὖν ἡ ἀνατολικὴ αὐτοκρατορία καταστραφεῖσα εἰς τοὺς Τούρκους μετηνέχθη. Ἐφονεύθη οὖν καὶ ὁ βασιλεὺς τῆς Τραπεζοῦντος Δαβὶδ καὶ οἱ ἑπτὰ υἱοί του, περὶ δὲ τοῦ παρὰ τῷ Οὐζοὺν-Χασάνῃ Γεωργίου Κομνηνοῦ υἱοῦ του, τοῦ ὡς εἰδήμονος τῆς τουρκικῆς γλώττης εὑρεθέντος παρὰ τῷ Οὐζοὺν Χασάνῃ καὶ τῇ θείᾳ Αἰκατερίνῃ, ἡ ἱστορία οὐδένα λόγον ποιεῖται, ὥστε Κομνηνὸς μετὰ τὴν καταστροφὴν αὐτὴν ἀκολουθεῖ νὰ μὴν ἔμεινε πουθενά· καὶ ἂν εἰς τὴν Φράντζαν ἦναι οἱ ὁποῖοι μετήλλαξαν τὸ ὄνομά τους καὶ ὠνομάσθησαν * * * * αὐτοὶ βεβαιότατα ἀνεχώρησαν τῆς Κωνσταντινουπόλεως καὶ κατήντησαν εἰς τὴν Φράντζαν πολλῷ πρότερον τῆς ἁλώσεως. Ἐγὼ δὲ εἶμαι Κομνηνὸς ὄχι ἐκ γραμμῆς ἀρσενικῆς τῆς ἤδη ὁλοτελῶς ἐκλειψάσης, ἀλλ' ἐκ γραμμῆς θηλυκῆς, τὸ ὁποῖον εἶναι συγχωρημένον τὴν σήμερον εἰς τὴν Εὐρώπην, τὸ νὰ ἐπονομάζηται τινὰς δηλαδὴ μὲ τὸ γένος καὶ τὸ πατρικὸν καὶ τὸ μητρικόν του.

Τῷ γὰρ ἔτει 1384 βασιλεύσας Τραπεζοῦντος ὁ Ἐμμανουὴλ ὁ Κομνηνός, υἱὸς τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, συνέζευξε τὴν θυγατέρα αὐτοῦ Εὐδοκίαν τῷ μεγάλῳ Δομεστίκῳ Κωνσταντίνῳ τῷ Ὑψηλάντῃ, ὡς πασίδηλον ἐκ τῆς ἱστορίας καὶ γενεαλογίας τῶν Κομνηνῶν, οὕτω πως ἐχούσης παρὰ τοῖς ἱστορικοῖς τῆς Βυζαντίδος, καὶ ταῦτα Λαονίκῳ τῷ Χαλκοκονδύλῃ, Ζωναρᾷ, ἱστορίας βιβλ. ιη' φύλλ. 27, καὶ ἄλλοις.

Πρῶτος Ἰωάννης ὁ Κομνηνὸς καταγόμενος ἐκ τῆς Παφλαγονίας· ἐξ οὗ γεννῶνται, Μανουὴλ ὁ Κομνηνὸς ὁ ἐπονομασθεὶς Ἐρωτικός, ὅστις ὑπῆρξε καὶ μέγας Δομέστιχος τῆς Ἀνατολῆς ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Βουλγαροκτόνου, καὶ Νικηφόρος ὁ Κομνηνὸς Πρωτοσπαθάριος καὶ ἔπαρχος τῆς Ἀσπρακανίας ἐπὶ τοῦ αὐτοῦ Βασιλείου, ὃς ἀπέθανεν ἄπαις.

Ἐκ τοῦ Μανουὴλ ἐγεννήθη Ἰσαάκιος ὁ Κομνηνός, ὅστις βασιλεὺς ἀνηγορεύθη ἔτει σωτηρίῳ 1057 σεπτεμβρ. ά, καὶ Ἰωάννης ὁ Κομνηνὸς Κουροπαλάτης εἶτα καὶ Δομέστιχος μέγας, καὶ θυγάτηρ.

Καὶ ἐκ μὲν τοῦ βασιλέως Ἰσαακίου ἐγεννήθη Μανουὴλ ὁ Κομνηνὸς καὶ ἀπέθανεν ἄπαις, καὶ θυγάτηρ. Ἐκ δὲ τοῦ Κουροπαλάτου καὶ μεγάλου Δομεστίχου Ἰωάννου ἐγεννήθησαν θυγατέρες τρεῖς, Μαρία, Εὐδοκία καὶ Θεοδώρα, καὶ υἱοὶ πέντε, Μανουὴλ ὁ Κομνηνὸς, Πρωτοστράτης καὶ Κουροπαλάτης (γεννᾷ θυγατέρα). Ἰσαὰκ ὁ Κομνηνὸς, Σεβαστοκράτωρ· Ἀλέξιος ὁ Κομνηνὸς, ὃς καὶ βασιλεὺς τῆς Κωνσταντινουπόλεως ἀνηγορεύθη· καὶ Ἀδριανὸς ὁ Κομνηνὸς, Πρωτοσεβαστὸς καὶ μέγας Δομέστιχος (ἀπέθανεν ἄπαις)· καὶ Νικηφόρος ὁ Κομνηνὸς, Σεβαστὸς καὶ μέγας Δρουγκάριος (ἀπέθανεν ἄπαις). Καὶ ἐκ μὲν τοῦ Μανουὴλ τοῦ Πρωτοστράτου καὶ Κουροπαλάτου ἐγεννήθη θυγάτηρ. Ἐκ δὲ τοῦ Ἰσαὰκ Κομνηνοῦ τοῦ Σεβαστοκράτορος ἐγεννήθη Ἰωάννης ὁ Κομνηνὸς δοὺξ Δυῤῥαχίου καὶ ἀπέθανεν ἄπαις· καὶ Ἀλέ-

—1461

ξιος, δοὺξ κ' αὐτὸς Δυρρόχιον, ἀποθανὼν ἄπαις· καὶ Κωνσταντῖνος, δοὺξ Βερρόιας, ἀποθανὼν ἄπαις.

Ἐκ δὲ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ ἐγεννήθη ὁ βασιλεὺς Ἰωάννης ὁ Κομνηνὸς καὶ Ἀνδρόνικος ὁ Κομνηνὸς, Σεβαστοκράτωρ, ἀποθανὼν ἄπαις· καὶ Ἰσαάκιος ὁ Κομνηνὸς, Καῖσαρ καὶ Σεβαστοκράτωρ· καὶ Ἄννα ἡ Κομνηνὴ ἡ τὴν ἱστορίαν συγγράψασα, καὶ ἄλλαι δύο θυγατέρες.

Καὶ ἐκ μὲν τοῦ βασιλέως Ἰωάννου τοῦ Κομνηνοῦ,θανόντος ἐν ἔτει 1143, ἐγεννήθησαν Ἀλέξιος ὁ Κομνηνὸς, ὅντινα ὁ πατὴρ ἔτι ζῶν βασιλέα ἀνηγόρευσεν καὶ ὅστις ἀπέθανεν ἄπαις· Ἀνδρόνικος ὁ Κομνηνὸς, Σεβαστοκράτωρ· Ἰσαάκιος ὁ Κομνηνὸς, Σεβαστοκράτωρ, ἐξ οὗ γεννῶνται θυγατέρες πέντε· Μανουὴλ ὁ Κομνηνὸς ὁ καὶ βασιλεὺς ἀναγορευθεὶς, ἐξ οὗ γεννῶνται θυγατέρες δύο.

Ἐκ δὲ τοῦ Ἰσαακίου τοῦ Κομνηνοῦ, Καίσαρος καὶ Σεβαστοκράτορος, ἐγεννήθησαν τρεῖς υἱοὶ, Ἰωάννης ὁ Κομνηνὸς, ὅστις ἀρνηθεὶς τὸν Χριστὸν ἐν Ἰκονίῳ ἔλαβεν εἰς γυναῖκα τὴν θυγατέρα τοῦ ἐν Ἰκονίῳ σουλτάνου, καὶ Ἀνδρόνικος ὁ Κομνηνὸς,βασιλεὺς ἀναγορευθεὶς,καὶ Νικόλαος ὁ Κομνηνός.

Καὶ ἐκ μὲν τοῦ Ἀνδρονίκου τοῦ Κομνηνοῦ, Σεβαστοκράτορος, ἐγεννήθησαν Ἰωάννης ὁ Κομνηνὸς, Πρωτοσεβαστὸς, καὶ Ἀλέξιος ὁ Κομνηνὸς, Πρωτοσεβαστὸς καὶ Πρωτοβεστιάριος.

Ἐκ δὲ τοῦ Μανουὴλ τοῦ Κομνηνοῦ, βασιλέως ἀναγορευθέντος, ἐγεννήθησαν θυγατέρες δύο καὶ δύο υἱοὶ, Ἀλέξιος ὁ Κομνηνὸς ὁ Β', βασιλεὺς ἀναγορευθεὶς, (τούτου γυνὴ Ἀγνέζα ἡ ἐκ Γαλλίας), ἀπέθανεν ἄκληρος, καὶ Ἀλέξιος ὁ Κομνηνὸς, Σεβαστοκράτωρ, ἀπέθανεν ἄκληρος.

Ἐκ δὲ τοῦ βασιλέως Ἀνδρονίκου τοῦ Κομνηνοῦ τοῦ καὶ πρώην Σεβαστοκράτορος ἐγεννήθησαν θυγατέρες δύο καὶ υἱοὶ τρεῖς, Μανουὴλ ὁ Κομνηνὸς, Σεβαστοκράτωρ, καὶ Ἰωάννης ὁ Κομνηνὸς, γεννηθεὶς ἔτει 1156 καὶ θανὼν ἄπαις τῷ ἔτει 1186, καὶ Ἀλέξιος ὁ Κομνηνὸς, θανὼν ἄπαις καὶ αὐτός.

Ἐκ δὲ τοῦ Νικολάου τοῦ Κομνηνοῦ ἐγεννήθη Ἰσαὰκ ὁ Κομνηνὸς, ὁ ἐπὶ τῆς βασιλείας Ἰσαὰκ τοῦ Ἀγγέλου τυραννεῖν ἐπιχειρησάμενος, ὃς ἀπέθανεν ἄπαις.

Καὶ ἐκ μὲν τοῦ Ἰωάννου, Πρωτοσεβαστοῦ, ἐγεννήθηταν θυγατέρες τρεῖς καὶ Ἀλέξιος ὁ Κομνηνὸς ὅστις ἀπέθανεν ἄπαις.

Ἐκ δὲ τοῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, Πρωτοσεβαστοῦ καὶ Πρωτοβεστιαρίου, ἐγεννήθη Στέφανος ὁ Κομνηνὸς, ὁ μέγας Δρουγκάριος, θανὼν ἄπαις.

Ἐκ δὲ τοῦ Μανουὴλ Κομνηνοῦ, τοῦ Σεβαστοκράτορος, ἐγεννήθη Δαβὶδ ὁ τῆς Παφλαγονίας ἡγεμὼν καὶ ἀπέθανεν ἄπαις· καὶ Ἀλέξιος ὁ Κομνηνὸς ὁ ἐπικληθεὶς Μέγας, ὁ καὶ πρῶτος ἡγεμὼν Τραπεζοῦντος, ἡγεμονεύσας τῷ ἔτει 1204, ἐξ οὗ γεννᾶται Νικόλαος ὁ Κομνηνὸς, ἡγεμὼν κἀυτὸς τῆς Τραπεζοῦντος τε καὶ Κολχίδος. Κἀκ τούτου γεννᾶται Κωνσταντῖνος ὁ Κομνηνὸς, ἡγεμὼν κἀυτὸς τῆς τε Κολχίδος καὶ τῆς Τραπεζοῦντος· καὶ ἐκ τούτου γεννᾶται Ἰωάννης ὁ Κομνηνὸς, βασιλεὺς Τραπεζοῦντος Πρῶτος οὖν οὗτος ὁ Ἰωάννης ἐπωνομάσθη βασιλεὺς Τραπεζοῦντος ἔτει σωτηρίῳ 1295,

βασιλεύοντος Ῥωμαίων ἐν Κωνσταντινουπόλει Μιχαὴλ τοῦ Παλαιολόγου, ὅστις, μὲ τὸ νὰ ἐφάνη πῶς δέχεται τὸν παπισμὸν, τὸ πλῆθος τῆς πόλεως, τῆς ὀρθοδοξίας προμαχόμενον, ἀνέκραξαν βασιλέα ἑαυτῶν τὸν ἡγεμόνα τῆς Τραπεζοῦντος καὶ Κολχίδος. Ἐκ τούτου οὖν τοῦ Ἰωάννου γεννῶνται Κωνσταντῖνος ὁ Κομνηνὸς, ὅστις μετὰ τὸν τοῦ πατρὸς Ἰωάννου θάνατον σὺν τῇ μητρὶ Εὐδοκίᾳ ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ Ἀλέξιος ὁ Κομνηνὸς βασιλεὺς Τραπεζοῦντος· οὗτος καὶ μετὰ τῶν Γενοβέζων ἐπολέμησεν, ἔτει σωτηρίῳ 1303. Ἐκ τούτου οὖν ἐγεννήθη Βασίλειος ὁ Κομνηνὸς, βασιλεὺς τῆς Τραπεζοῦντος ἀναδειχθεὶς, ἔτει σωτηρίῳ 1320· κἀκ τούτου γεννᾶται ὁ υἱὸς αὐτοῦ Βασίλειος Β' ὁ Κομνηνὸς, βασιλεὺς Τραπεζοῦντος, ὁ καὶ Νεώτερος ἐπικαλούμενος. Καὶ ἐκ τούτου καὶ τῆς βασιλίσσης Εὐδοκίας ἐγεννήθη ὁ υἱὸς αὐτῶν Ἀλέξιος ὁ Κομνηνὸς καὶ βασιλεὺς Τραπεζοῦντος, βασιλεύσας ἔτη 46. Καὶ βασιλεύει μετὰ τὸν θάνατον αὐτοῦ ὁ υἱὸς αὐτοῦ Μανουὴλ ὁ Κομνηνὸς, ὅστις τὴν θυγατέρα Εὐδοκίαν συνέζευξε γάμῳ τῷ μεγάλῳ Δομεστίχῳ Κωνσταντίνῳ Ξιφιλίνῳ τῷ Ὑψηλάντῃ.

Ἐκ τοῦ Μανουὴλ δὲ γεννᾶται Νικόλαος ὁ Κομνηνὸς, βασιλεὺς Τραπεζοῦντος καὶ Ἀλέξιος ὁ Κομνηνὸς, ἐξ οὗ γεννᾶται Γεώργιος ὁ Κομνηνὸς, Πρωτοβεστιάριος, ἐξ οὗ γεννᾶται Κωνσταντῖνος ὁ Κομνηνὸς, θανὼν ἄπαις.

Ἐκ δὲ τοῦ Νικολάου τοῦ Κομνηνοῦ ἐγεννήθη Ἀλέξιος ὁ Κομνηνὸς, βασιλεὺς Τραπεζοῦντος· μεθ' ὃν Ἰωάννης ὁ Κομνηνὸς ὁ υἱὸς αὐτοῦ, ὁ ἐπονομασθεὶς Καλογιάννης, τὸν ἴδιον πατέρα φονεύσας Ἀλέξιον, ἀνεδείχθη βασιλεὺς, ἔτει σωτηρίῳ 1449. Εἶτα φονεύει καὶ τὸν ῥηθέντα Γεώργιον τὸν Πρωτοβεστιάριον, τὸν καὶ ἴδιον θεῖον καὶ ἀπέθανεν ἄπαις. Καὶ γίνεται ὁ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος ὁ Κομνηνός. Τρεῖς γὰρ υἱοὺς ἐγέννησεν ὁ προῤῥηθεὶς Ἀλέξιος, τὸν προῤῥηθέντα Ἰωάννην, ἄλλως Καλογιάννην, τὸν Ἀλέξανδρον αὐτὸν καὶ τρίτον υἱὸν τὸν Δαβίδ. Ἐκ τοῦ Ἀλεξάνδρου ἐγεννήθη Δημήτριος ὁ Κομνηνὸς, ὅστις φόβῳ τοῦ θείου Δαβὶδ φεύγει εἰς τὸ Σινώπι, ὅπου πρὸ τῆς ἁλώσεως τῆς Τραπεζοῦντος γεννᾶ υἱὸν Ἰωάννην τὸν Κομνηνὸν, ὅστις ἀπέθανεν ἄπαις· τὸν δὲ Ἀλέξανδρον αὐτὸν θανόντα διεδέχθη ὁ ἀδελφὸς αὐτοῦ Δαβὶδ ὁ Κομνηνὸς, ὕστατος βασιλεὺς τῆς Τραπεζοῦντος· ἐγέννησεν υἱοὺς ὀκτὼ καὶ θυγατέρας τρεῖς, Αἰκατερίνην, τὴν τῷ Οὐζοὺν-Χασάνῃ βασιλεῖ τῶν Περσῶν νυμφευθεῖσαν, καὶ Εὐδοκίαν τὴν τῷ Σερβίας Δεσπότῃ νυμφευθεῖσαν, καὶ Ἄννην, ἄλλως Μαρίαν, ἣν ἔγημεν ὁ διδάσκαλος τοῦ σουλτὰν Μεχμέτη μετὰ τὴν ἅλωσιν τῆς Τραπεζοῦντος, συμβᾶσαν τῷ ἔτει 1462.

Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ ἐν ἱερομονάχοις Παρθένιος Μεταξόπουλος, Τραπεζούντιος καὶ Ἀρχιμανδρίτης ἐκ τῆς βασιλικῆς Μονῆς τῆς Παναγίας τοῦ Σουμελᾶ, συγγραψάμενος τὴν ἱστορίαν τῶν βασιλέων τῆς Τραπεζοῦντος συνδεδεμένην μὲ τὸ Προσκυνητάριον τῆς Παναγίας τοῦ Σουμελᾶ ἐκ τῶν ἱστοριῶν Γεωργίου τοῦ Συγκέλλου, Συμεὼν τοῦ μεταφραστοῦ, Θεοφίλου Ὁμολογητοῦ, Ζωσίμου, Νικοδήμου Κολχίδος καὶ Ἰωάννου Μελὰλ, οὕτωσὶ γράφει:

—1462

« Ἑάλω ἡ πόλις παρὰ τῶν Λατίνων ἔτει σωτηρίῳ 1204, Μαΐου 12. » Τότε δὴ ὁ ἔκγονος Ἀνδρονίκου βασιλέως Κωνσταντινουπόλεως, υἱὸς Ἐμ- » μανουὴλ τοῦ Κομνηνοῦ τοῦ Σεβαστοκράτορος, Ἀλέξιος ὁ ἐπικληθεὶς Μέ- » γας, συμβὰν τῷ τηνικαῦτα τελευτῆσαι καὶ τὸν βασιλέα Τραπεζοῦντος » Νικηφόρον ὀνόματι τὸν Παλαιολόγον, ἐλθὼν ἐκ τῆς βασιλίδος τῶν πό- » λεων ἐκάθησεν εἰς τὸν βασιλικὸν θρόνον τῆς Τραπεζοῦντος καὶ ἐβασίλευσε » χρόνους 35. Τούτου μετὰ τὸν θάνατον Ἰωάννης ὁ υἱὸς αὐτοῦ ἐβασίλευσε » χρόνους ἑπτά. Εἶτα Νικόλαος ὁ ἀδελφὸς τοῦ Ἰωάννου χρόνους δέκα. Εἶτα » Ἀδριανὸς ὁ υἱὸς τοῦ Ἰωάννου χρόνους 23. Εἶτα Ἰωάννης ὁ Κομνηνὸς » ὁ υἱὸς τοῦ Ἀδριανοῦ χρόνους 15. Εἶτα ὁ υἱὸς αὐτοῦ Ἀλέξιος ὁ Κομνη- » νὸς χρόνους 26. Εἶτα Βασίλειος ὁ Κομνηνός. Εἶτα Βασίλειος ὁ Β'. Εἶτα » Ἀλέξιος ὁ Κομνηνὸς ὁ τοῦ Βασιλείου τοῦ Β' καὶ τῆς Εὐδοκίας παῖς. » Εἶτα ὁ υἱὸς αὐτοῦ Μανουὴλ χρόνους 10, ὅστις τὴν θυγατέρα αὐτοῦ Εὐ- » δοκίαν συνεζεύξατο γάμου κοινωνίᾳ τῷ μεγάλῳ Δομεστίχῳ Κωνσταν- » τίνῳ τῷ Ξιφιλίνῳ, τῷ καὶ Ὑψηλάντῃ. »

Ὅτι δὲ παλαιότατον γένος τῶν ἐν Κωνσταντινουπόλει οἱ Ὑψηλάνται μαρτυρεῖ σὺν ἄλλοις καὶ Νεκτάριος ὁ πατριάρχης Ἱεροσολύμων φύλλ. 24 καὶ 201, οὕτωσὶ γράφων. « Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης τοὐπίκλην » Ξιφιλῖνος, ὃς ἐκ Τραπεζοῦντος μὲν ὥρμητο πεπαίδευτο δὲ παιδείαν λόγων » παντοδαπῶν καὶ τοῖς ἐξόχοις τῆς συγκλήτου Βουλῆς συνηρίθμητο· πάντα » δὲ ἑκουσίως· λιπὼν, τοῖς κατὰ τὸν Ὄλυμπον προσφοιτήσας σεμνίοις » κείρεται τὴν κόμην καὶ τὸν μοναχικὸν ὑπέρχεται βίον, ἔνθα καὶ συχνὸν » διανύσας χρόνον ἄξιος ἐκρίθη τοῦ πατριαρχικοῦ θρόνου τῆς Κωνσταντι- » νουπόλεως ἐπὶ Κωνσταντίνου τοῦ Δούκα ἔτει σωτηρίῳ 1064 ». Σώζεται περὶ τῶν βασιλέων τῆς Τραπεζοῦντος ἐν τῇ Μονῇ τοῦ Σουμελᾶ καὶ κώδηξ χειρόγραφος ἐκ τοῦ γένους αὐτοῦ μέχρι τῆς σήμερον· καὶ περὶ τὴν Τραπεζοῦντα καὶ ἐν ἄλλοις τόποις εὑρίσκονται καὶ ὀνομάζονται Ξιφιλάνται καὶ Ὑψηλάνται ἐκ τοῦ Κωνσταντίνου Ξιφιλίνου τοῦ Ὑψηλάντη Μεγάλου Δομεστίχου καὶ γαμβροῦ ἐπὶ θυγατρὶ τοῦ αὐτοκράτορος Ἐμμανουὴλ Κομνηνοῦ, βασιλέως Τραπεζοῦντος, περὶ τὸ ἔτος ἀπὸ Χριστοῦ 1390.

—

Ἔτει σωτηρίῳ 1462.

Ἐπανελθὼν οὖν ὁ σουλτὰν Μεχμέτης εἰς τὴν Κωνσταντινούπολιν νικητὴς καὶ τροπαιοῦχος σκοπεῖται ὑπαγαγεῖν καὶ τὰς νήσους, ἐλευθέρας ἔτι οὔσας διὰ τὴν μεσολαβοῦσαν θάλασσαν. Ὅθεν τῷδε τῷ ἔτει στόλον ἑτοιμάσας ἐφορμᾷ κατὰ τῆς Μιτυλήνης. Ἀντιπαρετάχθησαν οἱ Μιτυληναῖοι καὶ πολεμοῦσι σφοδρῶς, ἀλλ' ἡττηθέντες ὑπὸ τῶν παμπληθῶν Τούρκων σκλαβώνονται. Ὅλαι αἱ νῆσοι τῆς Μεσογείου θαλάσσης ἤθελον δοκιμάσει τὴν αὐτὴν τύχην ἂν ὁ ἡγεμὼν τῆς Βλαχίας Λεώτας, ὁ παρὰ τοῖς Τούρκοις Καζικλὶ-βόϊβοδα λεγόμενος (ὡσὰν ὁποῦ διὰ παραμικρὸν σφάλμα εἶχε παλουκώσει ἓξ χιλ. ἀνθρώπων), διὰ νὰ ἀποσοβήσῃ τὸν ζυγὸν τῆς δουλείας δὲν ἤθελεν ἀντειπεῖ εἰς τὴν πληρωμὴν τοῦ εἰς τότε συνειθισμένου ἐτησίου

δασμοῦ· δι' ἣν αὐτοῦ ἀντίστασιν καταλιπὼν ὁ σουλτὰν Μεχμέτης τὰς νήσους ἐφώρμησε κατὰ τῆς Βλαχίας· ὅθεν ὁ Λεώτας ὑποκλίνας τὸν αὐχένα ἔμεινε πάλιν ἡγεμὼν ὡς τὸ πρότερον, ὑποσχεθεὶς τὴν ἣν οὐκ ἠθέλησε πληρῶσαι δασμοφορίαν.

Εἰς τὸ Κάτεργα-λιμάνι, κείμενον μεταξὺ τῆς πόρτας Τζατλαδὶ καπὶ καὶ Κοὺρ-καπὶ, κατεπεύκασε λιμένα διὰ τὰ κάτεργά του ὁ σουλτάνος, κάμνοντας ἐκεῖ τὸν λεγόμενον τερσανὲ, ἤτοι νεώριον· ἀλλὰ τανῦν ὁ λιμὴν οὐ σώζεται, καὶ ἐχερσώθη, καὶ ἔμεινε μόνον τὸ ὄνομα εἰς τὸν τόπον.

Οἱ Ῥωμαῖοι ἑνωθέντες μὲ τοὺς Ἐνετοὺς ἀποστατοῦσιν εἰς τὸν Μωρέαν, καὶ ὑποτάξαντες ἐν αὐτῷ πόλεις τρεῖς, εἶτα καὶ τὸ Δυῤῥάχιον (κείμενον εἰς τὸ στόμιον τοῦ Ἀδριατικοῦ κόλπου εἰς τὰ σύνορα τῆς Δαλματίας καὶ Ἀλβανίας) καὶ τὸ Ἐζορνὶκ, ἐσκοποῦντο νὰ διώξωσι τοὺς Τούρκους ἀπὸ τὴν Πελοπόννησον. Ὁ σουλτὰν Μεχμέτης δὲν κατεδέχθη νὰ ἐκστρατεύσῃ μόνος του κατ' αὐτῶν, καὶ ἀπέστειλε τὸν Μεχμὲτ-πασᾶν, ὅστις ἐλθὼν καὶ μηδένα εὑρὼν τὸν ἀντεπολεμήσοντα (ἔφυγον γὰρ πάντες οἱ Ῥωμαῖοι), οὐ μόνον ἀνεκτήσατο τὰς ἁλωθείσας πόλεις ἀλλὰ καὶ νέας ἐπαρχίας ὑπέταξε, τὴν πλησιόχωρον δηλαδὴ Ἰλλυρίαν, Κογὲ-Ἐρσὲκ παρὰ Τούρκοις λεγομένην.

Τούτῳ τῷ ἔτει ἤρξατο ὁ σουλτὰν Μεχμέτης κρημνίζειν τὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων ἐν Κωνσταντινουπόλει, καὶ κτίζειν ἀντ' αὐτοῦ ἐν τῷ αὐτῷ τόπῳ τζαμὶ, τὸ λεγόμενον τανῦν Σουλτὰν-Μεχμὲτ-Τζαμισὶ, ὅπερ ἐτελείωσε σὺν ταῖς περὶ αὐτὸ πολλαῖς οἰκοδομαῖς μόλις ἔτει· τῷ σωτηρίῳ 1471 καὶ τοῦ Χιτζρὲ 876. Τότε δι' ἀμοιβὴν ἐχάρισε μίαν στράταν ὁλόκληρον, ὀνομαζομένην Κιουτζοὺκ-Τζαφὲρ, παρὰ τῇ ἐκκλησίᾳ τοῦ Μουγλίου, τῷ ἀρχιτέκτονι Ῥωμαίῳ τοὔνομα Χριστοδούλῳ μὲ χάττι-σερίφι, ὁποῦ ἐσώζετο μέχρι πολλοῦ ἐν τῇ ἐκκλησίᾳ τοῦ Μουγλίου, καὶ ἔγραφεν οὕτως: «Ἐσὺ ὁποῦ ἔχεις τὴν τιμὴν νὰ ᾖσαι σούπασης τῆς Κωνσταντινουπόλεως, » μὲ τὸ νὰ ἐχαρίσαμεν Ἡμεῖς δι' εὐμένειαν τῷ ἀρχιτέκτονι Χριστοδούλῳ, » διὰ μισθὸν τοῦ κόπου του, τὸν μαχαλὲν τὸν ὀνομαζόμενον Κιουτζοὺκ-» Τζαφὲρ, θέλεις ὑπάγει εἰς τὸν ναὸν τῆς Μουγλιότισας, καὶ θέλεις διορίσει » τὸν ῥηθέντα μαχαλὲν μὲ τοὺς τόπους τοὺς ἄνευ οἰκοδομῶν, καὶ θέλεις » τὸν δώσει εἰς τὴν ἐξουσίαν τοῦ Χριστοδούλου, κατὰ τὸ ἱερὸν ἡμῶν πρόσταγμα, εἰς τὸ ὁποῖον θέλεις δώσει πίστιν τὴν σήμερον». Μία τοιαύτη ὑπόθεσις τὴν σήμερον παρὰ Τούρκοις διορίζεται εἰς τὸν μεῖμὰρ ἀγᾶ, καὶ ὄχι εἰς τὸν σούπασην· ὅθεν δῆλον πόσον μετεβλήθη ὁ τρόπος τῆς διοικήσεως εἰς τὴν ὀθωμανικὴν βασιλείαν.

Ἀλλ' εἰπὼν ὁ Χριστόδουλος ὕστερον ὅτι δύναται νὰ κτίσῃ καὶ ἄλλο τζαμὶ μεγαλήτερον καὶ ὡραιότερον ἐκείνου, ἐφονεύθη.

—

Ἔτει σωτηρίῳ 1463 τοῦ Χιτζρὲ 867.

Ἐφορμᾷ ὁ σουλτάνος κατὰ τῆς Βόσνας καὶ ὑποτάσσει αὐτὴν φονεύσας ἐν πολέμῳ τὸν ἡγεμόνα αὐτῆς Στέφανον καθήμενον εἰς τὴν Γιάζιγα, εἶτα ἔκτισε καὶ ὀχυρώματα πολλὰ εἰς τὴν Βόσναν.

Ἔτει σωτηρίῳ 1464, τοῦ Χιτζρὲ 868.

Ὁ πάπας Πῖος ὁ Β' ἔγραψε τῷ σουλ-τὰν Μεχμέτῃ προτρέπων αὐτὸν εἰς χριστιανισμόν, καὶ ἐκστρατεύσας κατὰ τῶν Τούρκων εἰς τὴν Ἀγκῶνα θνήσκει, καὶ γίνεται Πάπας τῷδε τῷ ἔτει Παῦλος ὁ Β', Αὐγούστου τῇ λα'.

Ἔτει σωτηρίῳ 1465, τοῦ Χιτζρὲ 869.

Τούτῳ τῷ ἔτει θνήσκει ὁ περίφημος Καραμάνογλους, θανάσιμος ἐχθρὸς τῶν σουλτάνων διαδόχων τοῦ Ὀσμαντζὶκ καὶ ἀκολούθως καὶ τοῦ σουλτὰν Μεχμέτη, καὶ ἀφῆκεν ἓξ υἱούς. Τούτων ὁ μείζων, τοὔνομα Ἰσὰκ πέης, οἰκειοποιεῖται τὴν βασιλείαν τῆς Καραμανίας καὶ ξεγυμνώνει τοὺς λοιποὺς τῆς πατρικῆς διαδοχῆς. Προστρέχουσιν οὗτοι τῷ σουλτὰν Μεχμέτῃ ζητοῦντες βοήθειαν, ὅστις τῇ συγκατανεύσει τῶν λοιπῶν διορίζει ἡγεμόνα τῆς Καραμανίας ἕνα τῶν ἀδελφῶν τοὔνομα Ἀχμὲτ πέην, καὶ μετὰ πολλοῦ στρατοῦ πέμπει διὰ τὴν ἐπικράτειαν τῆς ἐπαρχίας. Πολέμου οὖν συγκροτηθέντος ἡττᾶται ὁ Ἰσὰκ-πέης, καὶ φεύγει πρὸς τὸν Οὐζοὺν Χασάνην καὶ ὑπαγαγὼν τὴν Καραμανίαν ὁ Ἀχμὲτ-πέης πέμπει ὀπίσω τὸν στρατὸν τοῦ σουλτὰν Μεχμέτη μετὰ δώρων καὶ περιποιεῖται τοὺς ἀδελφούς του, δοὺς αὐτοῖς ὀφφίκια καὶ διορίσας καὶ πλούσια σιτηρέσια.

Ὁ πατριάρχης Ἱερεσολύμων Γρηγόριος ὁ Β', τὴν μεγάλην ἰσχὺν τοῦ σουλτὰν Μεχμέτη κατιδὼν, προσελθὼν ἐδείξεν αὐτῷ τὸ πρόγραμμα τοῦ Ὅμερ-Ἴπνι-Χιτὰπ, δοθὲν τοῖς ὀρθοδόξοις Ῥωμαίοις διὰ τὴν ἐπικράτησιν τῶν ἐν Ἱερουσαλὴμ προσκυνημάτων, καὶ ἐζήτησεν ἐπικυρωθῆναι καὶ παρὰ τῆς αὐτοῦ Βασιλείας, ὃ καὶ ἐγένετο προγράμματι τοῦ σουλτὰν Μεχμέτη, μέχρι τοῦ νῦν σωζομένῳ ἐν τῷ θρόνῳ τῆς Ἱερουσαλήμ.

Ἐν τῇ δυτικῇ Ἐκκλησίᾳ ἡ τῶν ἑλληνικῶν γραμμάτων καὶ ἐπιστημῶν σπουδὴ καθ' ἑκάστην προέκοπτε· παρὰ γὰρ τὸν προρρηθέντα Νικόλαον Ε' τὸν πάπαν καὶ ὁ τῆς Φλωρεντίας ἡγεμὼν Λαυρέντιος Μέδιτζι, ὁ καὶ πατὴρ τοῦ Ῥώμης ἐπισκόπου Λέοντος τοῦ Γ', οὗ μετρίαν ἐπίδοσιν αὐτοῖς ἐνέδειξε. Διδάσκαλοι δὲ τούτων γεγόνασιν ἄνδρες Ἕλληνες οἱ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως καταφυγόντες εἴς τε τὴν Ἰταλίαν καὶ εἰς ἄλλους τόπους. Οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς τὴν Γερμανίαν μετεκομίσθη τὰ ἑλληνικὰ μαθήματα ὑπὸ Ἰωάννου Ῥευχλίνου τοῦ Καπνίωνος, νομικοῦ τε καὶ πολιτικοῦ διδασκάλου μαθητευθέντος παρὰ Ἀνδρονίκῳ Κοντοβράκῳ τῷ Ἕλληνι ἐν βασιλείᾳ τῇ πόλει, ὑφ' οὗ καὶ πρώτου κάν ταῖς Γαλλίαις διεσπάρη ἡ ἑλληνικὴ διάλεκτος· καὶ μετ' αὐτὸν ἐν Παρισίοις ἐμαθητεύθη ἡ ἑλληνικὴ παίδευσις ὑπὸ Γεωργίου Ἑρμωνύμου τοῦ Σπαρτιάτου· ἐν δὲ τῇ Ῥώμῃ ὑπὸ Ἀργυροπούλου τοῦ Βυζαντίου, κάν Μοδιολάνοις καὶ Φλωρεντίᾳ παρὰ Δημητρίου τοῦ Χαλκοκονδύλου, καὶ ἐν τῇ Μεσσήνῃ παρὰ Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου.

Ἔτει σωτηρίῳ 1466, τοῦ Χιτζρὲ 870.

Ὁ σουλτὰν Μουράτης, πατὴρ τοῦ σουλτὰν Μεχμέτη, εἶχε καταπολεμήσει τὸν Ἰσκεντέρπεην, ἡγεμόνα τῆς Ἀρβανιτίας, καὶ εἶχεν ὑποτάξει πολλὰ αὐτοῦ ὀχυρώματα. Μετὰ δὲ τὸν θάνατον ἐκείνου ἐνδυναμωθεὶς ὁ Ἰσκεντέρπεης διὰ τὴν μακρὰν ἀπουσίαν τοῦ σουλτὰν Μεχμέτη παρηνόχλει τὰς πλησιοχώρους αὐτῷ ἐπαρχίας τῶν Τούρκων. Ὅθεν ὁ σουλτὰν Μεχμέτης ἐφορμᾷ κατὰ τῆς Ἀρβανιτίας καὶ κρημνίσας τὰ ὀχυρώματα ὑποτάσσει τὴν ἐπαρχίαν καὶ κτίζει κάστρον δυνατὸν εἰς τὰ σύνορά της.

ΚΕΦ. Γ'.

Τὰ ἐπὶ τῆς πατριαρχείας Σωφρονίου τοῦ Συροπούλου, Ἰωάσαφ τοῦ Κόκκα καὶ Μάρκου τοῦ Ξυλοκαράβου.

Ὁ Πατριάρχης Ἰσίδωρος ἐν ἡσυχίᾳ προστὰς τοῦ θρόνου ἔτη ἓξ καὶ μῆνας δύο πρὸς Κύριον ἐξεδήμησε, καὶ προχειρίζεται πατριάρχης Σωφρόνιος ὁ Συρόπουλος, λαβὼν παρὰ τοῦ σουλτὰν καὶ τὰ ἐς τόδε συνήθη τῶν δώρων.

Ὁ σουλτὰν Μεχμέτης ἐφορμᾷ κατὰ τῆς Καραμανίας, διώκει τὸν ῥηθέντα Ἀχμὲτ-πέην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ὑποτάσσει ὅλην τὴν ἐπαρχίαν πλήν τινων ὀχυρωμάτων, καὶ ἀποκαθίστησιν ἡγεμόνα αὐτῆς τὸν υἱὸν αὐτοῦ Μουσταφᾶν.

Ἔτει σωτηρίῳ 1467, τοῦ Χιτζρὲ 871.

Πατριαρχεία Ἰωάσαφ τοῦ Κόκκα

Ὁ πατριάρχης Σωφρόνιος πατριαρχεύσας ἔτος ἓν ἐξεβλήθη τοῦ θρόνου ὑπὸ τῶν κληρικῶν, καὶ ἀνεβιβάσθη εἰς τὸν Οἰκουμενικὸν θρόνον Ἰωάσαφ ὁ Κόκκας, ὃς, εἰ καὶ πραὺς ἦν καὶ τῆς εἰρήνης ἐραστής, περιπέπτωκεν ἔμπης ἔρισι καὶ στάσεσιν ὑπὸ τῶν αὐτοῦ κληρικῶν ἐγερθείσας, ἐξ ὧν λίαν ἀγανακτήσας εἰς φρέαρ ἑαυτὸν κατέρριψεν, ὅπερ ἰδόντες οἱ περὶ αὐτὸν καὶ δραμόντες μόλις τοῦ ὀλέθρου ἐξήγαγον.

Ἔτει σωτηρίῳ 1468, τοῦ Χιτζρὲ 872.

Ἐπανελθὼν πάλιν ὁ σουλτὰν Μεχμέτης εἰς τὴν Καραμανίαν ὑπέταξε τὰ λοιπὰ ὀχυρώματα, καὶ διορίσας φύλακα στρατὸν εἰς τὸ Ἄκ-Σαράϊ καὶ Γκιουνλοὺκ ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν.

—

Ἔτει σωτηρίῳ 1469, τοῦ Χιτζρὲ 873—874.

Ὁ Σουλτὰν Μεχμέτης ἐφορμᾷ κατὰ τῆς νήσου Εὐβοίας, ἤτοι Εὐρίπου, (ἧς μητρόπολις ἡ Χαλκὶς,) λεγομένης τουρκικώτερον Ἐγριπὸζ καὶ Ἰταλιστὶ Νεγροπόντε, καὶ ἐν διαστήματι μηνὸς ἁρπάζει αὐτὴν ἀπὸ τοὺς Ἐνετοὺς, τῶν ὁποίων ὁ στόλος οὐκ ἐτόλμησε πολεμῆσαι μετ' αὐτοῦ, ἀλλὰ θεατὴς μόνον τῆς νίκης ἐγένετο. Ἀνατειχίσας οὖν ὁ σουλτάνος τὰ κρημνιοθέντα μέρη τοῦ τείχους ἐπανῆλθε νικητὴς εἰς τὴν Κωνσταντινούπολιν.

Ὁ ἡγεμὼν τῆς Φιλαδελφείας, τουρκιστὶ Ἀλὰ-σεχερὶ λεγομένης, τοὔνομα Κιζὶλ-Ἀσλὰν, ἐθελουσίως ὑποτάσσει τὰς ὑπ' αὐτῷ ἐπαρχίας τῷ σουλτὰν Μεχμέτῃ, ὅστις τιμήσας αὐτὸν ἀποκατέστησε καὶ ἡγεμόνα τῆς Κιουμουλγίνας, ἥτις ἐστὶν ἐπαρχία ἐν τῇ Εὐρώπῃ παρὰ τῇ Λαρίσσῃ.

Ὁ Οὐζοὺν-Χασάνης, βασιλεὺς τῆς Περσίας, λαβὼν σύμμαχον παρὰ τῶν Σκυθῶν πέμπει τὸν στρατηγὸν αὐτοῦ Ἰσουφτζὲ-πέην κατὰ τῶν Ὀθωμανῶν, ὅστις ἐλθὼν καίει τὴν Νεοκαισάρειαν καὶ τὰς πέριξ ἐπαρχίας, καὶ προχωρεῖ μέχρι τῆς Καραμανίας, ἔνθα ὁ ῥηθεὶς Μουσταφᾶς, υἱὸς τοῦ σουλτὰν Μεχμέτη, καταπολεμήσας αὐτὸν καὶ ζωγρήσας πέμπει σιδηροδέσμιον εἰς τὸν πατέρα του.

—

Ἔτει σωτηρίῳ 1470, τοῦ Χιτζρὲ 875.

Ὁ Οὐζοὺν Χασάνης ἀγανακτήσας ἐπὶ τῇ ἥττῃ τοῦ στρατηγοῦ του ἐφορμᾷ κατὰ τῶν Ὀθωμανῶν. Ἀπαντᾷ σὺν τῷ στρατῷ αὐτὸν ὁ σουλτὰν Μεχμέτης παρὰ τῷ Παγιὰς, πόλει τῆς Παφλαγονίας, συγκροτεῖται πόλεμος σφοδρότατος, καὶ τέλος ἡττᾶται ὁ Οὐζοὺν Χασάνης, φονευθέντος ἐν τῷ πολέμῳ καὶ τοῦ ἰδίου υἱοῦ Ζεϊνουλδίνι, καὶ φεύγει ὁ Οὐζοὺν Χασάνης μὲ πολὺν ἀφανισμὸν τοῦ στρατοῦ του. Μετὰ τὴν φυγὴν τῶν Περσῶν πολιορκεῖ ὁ σουλτὰν Μεχμέτης τὴν ἐν τῇ Παφλαγονίᾳ πόλιν αὐτῶν Ἀρσέγκην, τουρκιστὶ Κ α ρ ὰ-Ἰ σ ὰ ρ-Σ α ρ κ ὶ λεγομένην, καὶ κατακαίει καὶ κατασφάττει πάντα τὰ ἐν ταῖς περὶ αὐτὴν ἐπαρχίαις. Εἶτα ἐπανακάμψαι μέλλων εἰς τὴν Κωνσταντινούπολιν ἀφῆκεν ἐκεῖσε σὺν τῷ στρατῷ στρατηγὸν τὸν Γεδὶκ-Ἀχμὲτ πασσᾶν, ὅστις ὑπαγαγὼν τὰς πόλεις Ἐρμενὰκ καὶ Ζιλίφκι ὑπέταξε τῇ τῶν Ὀθωμανῶν δυναστείᾳ ἅπασαν τὴν ἐπαρχίαν τῆς Παφλαγονίας, τουρκικώτερον Β α ρ σ ὰ κ λεγομένης.

—

Ἔτει σωτηρίῳ 1471, τοῦ Χιτζρὲ 876.

Ὁ αὐτὸς Γεδὶκ-Ἀχμὲτ πασσᾶς ἐφορμᾷ κατὰ τῆς Ταυρικῆς Χερσονήσου,

Κρίμι λεγομένης τουρκικώτερον, καὶ καταπολεμήσας τοὺς Γενοβέζους ὑποτάσσει τὴν μητρόπολιν τοῦ Κριμίου Κιέφε, εἶτα καὶ τὸ μέρος τοῦ Κριμίου ὁποῦ ὤκιζαν οἱ Γενοβέζοι. Ἐκεῖσε εὗρε τὸν Μπεγκλὶ Γκιεράϊ, καταγόμενον ἀπὸ τῆς φυλῆς τῶν ἡγεμόνων Κοπτζάκων, ἄλλως Ὀγουζιανῶν, καὶ ἀπὸ τοῦ γένους τοῦ Τζιγκὶζ-Χὰν. (Εἰσὶ δὲ οἱ Κοπτζάκοι γένος σκυθικόν, ἀφ' ὧν κατάγονται οἵ τε Τοῦρκοι καὶ οἱ Τάρταροι· εἶναι πλησιόχωροι μὲ τὴν ἐπαρχίαν Οὐζμπὲκ, καὶ εἰς τὰ σύνορα τῶν Ταρτάρων Χαγαταίων, πρὸς ἀνατολὰς τῆς Κασπίας θαλάσσης. Εἰς τοὺς γεωγραφικοὺς πίνακας τῶν νεωτέρων ἡ ἐπαρχία τῶν Κοπτζάκων ὀνομάζεται βασίλειον τοῦ Τιβὲτ, ἢ Τουρκεστάν). Οὗτος γὰρ ὁ Πεγκλὶ-Γκιεράϊς, καταπολεμηθεὶς παρὰ τοῦ ἀδελφοῦ του τοῦ καὶ δυναστεύοντος μέρους τῆς Ταυρικῆς Χερσονήσου, κατέφυγεν εἰς τοὺς Γενοβέζους· καὶ ὁ σουλτὰν Μεχμέτης τώρα τὸν ἐδεξιώθη, καὶ ἀποκαταστήσας αὐτὸν χάνην τοῦ Κριμίου δέδωκε αὐτῷ δυνάμεις ἵνα δι' αὐτῶν ὑποτάξῃ τὸν ἀδελφόν του βασιλεύοντα μέρους τοῦ Κριμίου, ἐπὶ ῥηταῖς συμφωνίαις. Ὅθεν ἐφορμήσας ὁ νέος χάνης κατ' αὐτοῦ νικᾷ καὶ φονεύει αὐτὸν καὶ ὑπέταξεν ἅπασαν τὴν Ταυρικὴν Χερσόνησον. Οὗτός ἐστιν ὁ πρῶτος χάνης τῶν Ταρτάρων τοῦ Κριμίου ἐπὶ τῶν Ὀθωμανῶν, καὶ πρῶτος αὐτὸς διώρισε νὰ ἐκφωνῆται εἰς τὸν μιναρὲ ὁ χουτπὲς τῶν ὀθωμανῶν σουλτάνων.

Ἀλλ' εἴπερ γελοῖοι οἱ συγγραφεῖς χριστιανοὶ ἐν τοῖς περὶ τὸν Τζεγκίζην, γελοιωδέστερος ὁ Μιχαὴλ τῆς Λιτουανίας διὰ τὴν καταγραφὴν τῆς σειρᾶς τῶν χάνηδων τοῦ Κριμίου. Ἀναγινώσκεται γὰρ ἐν τῇ συγγραφείσῃ αὐτῷ Ταρταρίᾳ, σελ. 296, τὸ ὅτι ὁ πρῶτος ἡγεμὼν τοῦ Κριμίου κατήγετο ἀπὸ τῆς φυλῆς τοῦ Τζεγκίζη· καὶ εἰς τοῦτο μὲν ἀληθεύει· ψεύδεται δὲ γράφων σελ. 193 τὸ ὅτι ἀπόγονός τις τοῦ Τζεγκίζη, ᾧ ὄνομα παρ' αὐτῷ Λοτῶνος, ἀπῆλθεν εἰς τὴν Λιτουανίαν τῆς Λεχίας· ἐξ αὐτοῦ περιγράφει σειράν τινα πλαστὴν τῶν χάνηδων τῆς Λιτουανίας, ὧν τὸν ἔσχατον Ἀκ-Κιερὰς ὀνομάζει, ὅστις ὑποτάξας τὴν Ταυρικὴν Χερσόνησον γεννᾷ τὸν Μπεγκλὶ-Γκιεράϊ, ἐξ οὗ ὁ Μεχμὲτ-Γκιεράϊς, κἀκ τούτου ὁ Σααδὲτ Γκιεράϊς, ἐξ οὗ ὁ Χὰς-Γκιεράϊς, κἀκ τούτου ὁ Σὰπ-Γκιεράϊς. Ταῦτα οὖν μυθώδη, οὕτω πως ἐχούσης τῆς ἀληθείας: Πάντες οἱ συγγραφεῖς Τοῦρκοι συμφωνοῦσιν εἰς αὐτὸ ὅτι, Γκιεράϊς τις ἀπὸ τοῦ γένους τοῦ Τζεγκὶζ-Χάνη καταγόμενος ὑπέταξε τὴν Ταυρικὴν Χερσόνησον, καὶ οἱ ἀπόγονοί του ἐφύλαξαν τὸ ὄνομά του διὰ μνήμην, μεταχειριζόμενοι αὐτὸ ὡς ἐπίθετον ἀπὸ τότε μέχρι τοῦδε. Πρὸς τούτοις οἱ Τάρταροι τῆς Λιτουανίας οὐ κατήγοντο ἀπὸ τῶν Ὀγουζιανῶν, ἀφ' ὧν ὁ Τζεγκίζης, ἀλλ' ἀπὸ τῶν Χαιρεμίσων, καὶ παρὰ Τούρκοις λέγονται Λίπκα Ταταρί. Καὶ ταῦτα μὲν οὕτως. Σημειωτέον δὲ προσέτι ὅτι διπλοῖ εἰσιν οἱ ἀπόγονοι τοῦ ῥηθέντος Γκιεράϊ· οἱ μὲν γὰρ αὐτῶν γνήσιοί εἰσι καὶ γίνονται χάνηδες τοῦ Κριμίου, οἱ δὲ εἰσι νόθοι καὶ ὀνομάζονται Χομπὰν-Γκιεράϊ. Γυνὴ γάρ τις χάνη τινὸς μοιχευθεῖσα ἐγέννησεν υἱόν· γνωσθείσης τῆς μοιχείας ἐφονεύθη ἡ γυνὴ, καὶ τὸ νεογνὸν παρεδόθη τινὶ ἵνα φονευθῇ. Ἀλλ' αὐτὸς λυπηθεὶς ἀνέθρεψε τὸ παιδίον εἰς τὴν Τζερκεσίαν φυγαδεύσας, καὶ τούτου κατάγονται οἱ Χομπὰν-Γκιεράϊδες διάγοντες εἰς

τὴν Γιάνμπολην. Μετὰ τὸν πόλεμον τῆς Βιέννης ἐπιστοῦντες οἱ Ὀθωμανοὶ τῷ τότε χάνῃ Σελὶμ-Γκιεραΐ ἔκαμαν χάνην τὸν Κιὸρ-Γκιεραΐ, ὄντα ἐκ τῆς φυλῆς τῶν Χομπάνιδων· ἀλλὰ μετά τινας μῆνας καθῃρέθη καὶ ἐγένετο χάνης πάλιν εἷς τῶν ἐκ τῆς ἄλλης φυλῆς. Εἶναι ἀνέλπιστον τὸ νὰ προβιβασθοῦν πλέον εἰς αὐτὴν τὴν ἀξίαν οἱ Χομπὰν-Γκιεραΐδες· ἔχουν διὰ τὸ γένος τους ἄλλα ὀφφίκια, οἷον τοῦ Καλγᾶ-σουλτάνου, τοῦ Ναυρράδίνι καὶ ἄλλα.

Ἐνόσῳ ἡ Ταυρικὴ Χερσόνησος ὑπετάσσετο τοῖς Ὀθωμανοῖς ὁ Σουλεϊμὰν-πασσᾶς ἐφώρμησε κατὰ τῆς Μολδαβίας. Ἀλλ' ἀπαντήσας αὐτῷ ὁ Στεφὰν-βόδας παρὰ τῷ Φαλτζὶ ἐπὶ τῶν ὀχθῶν τοῦ Προύτου, πολέμου σφοδροῦ συγκροτηθέντος ἡττᾶται ὁ Σουλεϊμὰν-πασσᾶς καὶ φονεύεται, συμφονευθέντων καὶ πολλῶν τούρκων στρατιωτῶν καὶ πλείστων ὅσων ζωγρηθέντων καὶ τῶν λοιπῶν πέραν τοῦ Δουνάβεως φυγῇ τὴν σωτηρίαν εὑρόντων.

Ὠνομάζετο τοῦ Στεφὰν-βόδα ὁ υἱὸς Πογδὰν, καὶ ἀπὸ τούτου ὠνόμασαν οἱ Τοῦρκοι τὴν Μολδαυίαν. Οὗτος ὁ Στεφὰν-βόδας αὐθέντευσεν ἔτει σωτηρίῳ 1456, καὶ παρετάθη ἡ ἡγεμονεία του ἔτη 47 καὶ μῆνας πέντε.

Ὁ ῥηθεὶς πάπας Παῦλος ὁ Β' ἔγραψε τῷ ψευδοπατριάρχῃ τῶν Μαρωνιτῶν, τίτλῳ πατριάρχου Ἀντιοχείας χρωμένῳ καὶ καθημένῳ ἐν τῷ Λιβάνῳ ὄρει, περὶ τῆς Ἁγίας Τριάδος καὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ υἱοῦ καὶ Λόγου τοῦ θεοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐμίσει τοὺς πεπαιδευμένους αἱρετικοὺς καλῶν καὶ ἀπεδίωκε τῆς Ῥώμης, καὶ τῶν ὀφφικίων ἅπερ εἶχον ἐξέβαλλεν, ἐν οἷς καὶ τὸν Ἠλάτιναν ὑπομνηματογράφον ὄντα. Συνέθετο τοῖς Τούρκοις κατὰ τῶν Κελτογαλατῶν, εἰ καὶ ἐχθρὸς αὐτῶν δοκεῖν ἤθελε καὶ δεκάτας παρὰ πασῶν τῶν ἐν τῇ Γερμανίᾳ ἐκκλησιῶν ἀνυπερθέτως ἀπῄτει ἐπὶ τῷ καταπολεμῆσαι αὐτούς. Θνήσκει δὲ ὁ πάπας οὗτοσὶ Παῦλος ὁ Β', κατὰ τὸν συγγραφέα Μορναῖον ἐκδεδιῃτημένος, καὶ γίνεται πάπας Σίξτος ὁ Δ', Αὐγούστου τῇ θ' τοῦδε τοῦ ἔτους.

—

Ἔτει σωτηρίῳ 1472.

Πατριαρχεία Μάρκου τοῦ Ξυλοκαράβου.

Τοῦ πατριάρχου Ἰωάσαφ τὴν ὑπήνην περιέτεμεν ὁ σουλτὰν Μεχμέτης ἐπὶ βήματος, καὶ τοῦ ἐκκλησιάρχου τὴν ῥῖνα διέσχισε, διὰ τὸ μὴ ὑπακοῦσαι αὐτοὺς τῇ αὐτοῦ κελεύσει δι' ἧς ἐζήτει ἄδειαν ἐκκλησιαστικὴν πρὸς τὸν ἐκ τῆς Τραπεζοῦντος Πρωτοβιστιάριον, ζώσης εἰσέτι τῆς αὐτοῦ γαμίμου γυναικὸς, τοῦ γῆμαι τὴν τοῦ ἄρχοντος τῶν Ἀθηνῶν σύνευνον, ἢ κατ' ἄλλους, θυγατέρα, κάλλει νικῶσαν τὰς κατ' ἐκεῖνο τοῦ χρόνου γυναῖκας· εἶτα καταργεῖ καὶ τοῦ Οἰκουμενικοῦ θρόνου τὸν αὐτὸν Ἰωάσαφ, καὶ συναχθέντες οἱ ἐν Κωνσταντινουπόλει παριυρεθέντες ἀρχιερεῖς καὶ ὁ ταύτης κλῆρος ψηφίζονται πατριάρχην τὸν ἱερομόναχον Μάρκον τὸν Ξυλοκαράβην ἐπιλεγόμενον, τὸν Βυζάντιον, καλόν τε καὶ πεπαιδευμένον.

Μαθὼν ὁ σουλτὰν Μεχμέτης τὴν ἐν τῇ Μολδαβίᾳ καταστροφὴν τοῦ ἰδίου στρατοῦ καὶ ἀγανακτήσας ἐκστρατεύει αὐτοπροσώπως κατ' αὐτῆς· ἀλλ' οὐχ εὑρών τινα ἀντιπαρατατόμενον καὶ εἰς τὰ ὄρη εἰσελθεῖν φοβηθεὶς ἐληΐσατο τὰς πεδιάδας καὶ ἐπανέκαμψε συνεπιφέρων πλῆθος αἰχμαλώτων τε καὶ ζώων.

Τὴν ἐν Ἱσπανίᾳ Καστιλλίαν, τελευτήσαντος Ἰωάννου Β', διεῖπεν ὁ υἱὸς αὐτοῦ Ἑνρῖκος Δ'. Τούτου θανόντος, ἔτει 1472, Φερδινάνδος Ε', γήμας Ἰσαβέλλην τὴν τοῦ Ἑνρίκου ἀδελφὴν, ἐγκρατὴς γέγονε τοῦ ῥηγάτου καὶ εὐτυχῶς τὰ πράγματα διῴκησε. Καὶ μετά τινα ἔτη, ἐπὶ τοῦ πάπα Ἰννοκεντίου Η', τὸ τῆς Γρανάτης ῥηγάτον ἑαυτῷ ὑπέταξε, δορυάλωτον ποιήσας τὸν αὐτῆς ῥῆγα, ὃ μόνον ἐν τοῖς ῥηγάτοις τῆς Ἱσπανίας τῆς τοῦ Μωάμεθ θρησκείας ἐχόμενον μέχρι τούτων τῶν χρόνων τῇ τοῦ Χριστοῦ πίστει ἀντέκειτο. Ὅθεν Φερδινάνδος Ε' προγράμματι καὶ ἐδίκτῳ τὸ ὀφφίκιον τῆς λεγομένης Ἱερᾶς Ἐξετάσεως ἐθέσπισε, προτροπῇ Θωμᾶ τοῦ Ἑνκρεμάτου τοῦ ἐκ τοῦ τάγματος τῶν Δομενικανῶν, γενικοῦ Ἐξεταστοῦ τῆς πίστεως ὁρισθέντος. Μηδένα οὖν ἄλλον ἤθελεν εἶναι ἐν τῇ Ἱσπανίᾳ εἰμὴ Χριστιανοὺς· ὅθεν 120 χιλιάδας οἴκους Ἰουδαίων ἐξορίζει καὶ διώκει, καὶ οἱ καταλειφθέντες Ἰουδαῖοι τὴν ἰουδαϊκὴν πίστιν ἀναδύσασθαι παρεβιάζοντο· οἵ τε Μαῦροι καὶ οἱ Ἰουδαῖοι, ἵνα μὴ ἐκεῖθεν ἐξορισθῶσι, τῷ στόματι μᾶλλον ἢ τῇ καρδίᾳ τὴν τοῦ Χριστοῦ πίστιν διεπρέσβευον. Καὶ οἱ τῶν αἱρέσεων Ἐξεταστὰ ἐκελεύοντο τοῖς Ἰουδαίοις καὶ Μαύροις προσέχειν, οἳ τοὺς ὑπαιτίους μετὰ πολλὰς καθείρξεις κατέκαιον. Ὁ δὲ τρόπος καθ' ὃν ἐξέταζεν ἡ ἀνίερος αὕτη Ἐξέτασις ὧδέ πως εἶχεν· ὁ προβληθεὶς ὑπό τινος ὡς ὑπαίτιος τῇ εἱρκτῇ ἐνεβάλλετο, καὶ μετὰ τρεῖς μῆνας ἀνηγγέλλετο αὐτῷ ὅτι τόδε καὶ τόδε πέπραχεν ἢ εἶπεν ἐναντίον τῆς πίστεως· εἰ μὲν οὖν ἐκεῖνος ἔξαρνος ἐγίγνετο, κατεκαίετο καὶ τὰ ὑπάρχοντα αὐτοῦ ἐδημεύετο· εἰ δὲ ὁμολογήσας τὸ πταῖσμα παραιτήσοιτο, οὐ κατεκαίετο μὲν, ἀλλ' εἰς τριήρεις εἱρκταῖς εἰς τὸ διηνεκὲς κατεδικάζετο, γυμνούμενος καὶ πάσης τῆς περιουσίας αὐτοῦ· τὸ δὲ χείριστον ὅτι οἱ τὴν αἰτίαν ἐπενεγκόντες οὐκ' ὠνομάζοντο, καὶ σὺν τῷ ὑπαιτίῳ ἐνώπιον τοῦ κριτηρίου οὐ παρίσταντο. Μία δὲ μόνη ὁδὸς τοῦ ὑπεκφυγεῖν ὑπῆρχεν, ἐὰν ὁ ὑπόδικος εἴπῃ ἐχθροὺς ἔχειν καὶ συκοφαντεῖσθαι παρ' αὐτῶν, καὶ κατ' ὄνομα αὐτοὺς ὀνομάσῃ· καὶ ἀληθεύσας ἐν τούτοις οὐ περὶ τῆς προβληθείσης κατηγορίας ἀνεκρίνετο, ἀλλὰ περὶ τοῦ βίου καὶ τῆς διαγωγῆς αὐτοῦ οἱ πλησίον αὐτοῦ ἠρωτῶντο, καὶ καθαρὸς αἱρετικῆς λώβης εὑρεθεὶς ἀφίετο· τοῦ καταδικασθέντος δὲ ἡ αἰτία εἰς διηνεκῆ τῆς συγγενείας αὐτοῦ ἀτιμίαν ἐπεγράφετο ἐν τοῖς ναοῖς γράμμασιν οὐ σμικροῖς.

Αὐτὸ τὸ ὀφφίκιον τῆς Ἐξετάσεως διωρίσθη ὑπὸ συνόδου ἁλισθείσης ἐν τῇ Ναρβώννῃ, ἔτει 1235· ἀλλὰ τανῦν ἐν τῇ Ἱσπανίᾳ μετεβλήθη ἡ Ἐξέτασις εἰς νερωνικὴν τυραννίδα. Σώζεται καὶ μέχρι τοῦδε τὸ ὀφφίκιον αὐτὸ εἰς ὅλα τὰ ῥηγάτα τὰ τὸν πάπαν δεχόμενα, ἀλλ' οὐκ ἔχουσιν ἐξουσίαν πολλὴν, ὡς τὸ πρότερον, εἰμὴ ἐν τῇ Ῥώμῃ καὶ ταῖς ὑπὸ τῷ Ῥώμης πόλεσι.

Πικρότατα οὖν οἱ Ἱσπανοὶ ὠδύροντο διὰ τὴν πικροτάτην παπικὴν τυραννίδα καὶ τὸν ἐπαχθέστατον ζυγὸν τῆς ἀνιέρου Ἱερᾶς Ἐξετάσεως, καὶ

μάλιστα ὅτι Φερδινάνδος Ε',τοῖς τοῦ πάπα κελεύσμασιν ὑπείκων, προγράμματι ἐπὶ βαρυτάτῃ ποινῇ ἀπηγόρευσεν ἵνα μήτις τῶν Ἱσπανῶν τολμήσῃ τὴν ἱερὰν Γραφὴν εἰς κοινὴν διάλεκτον ἢ μεταφράσαι, ἢ ταῖς παρ' ἄλλων εἰς τόδε μεταφρασθείσαις χρήσασθαι.

Οἱ ἐν τῇ Πορτογαλλίᾳ Ἑβραῖοι λίαν ἐβιάζοντο πρὸς τὸ χριστιανίσαι, ἀλλ' ἀνωφελῶς.

—

Ἔτει σωτηρίῳ 1473, τοῦ Χιτζρὲ 878.

Ὁ πατριάρχης Μάρκος ὁ Ξυλοκαράβης, διὰ τὴν τῶν κληρικῶν αὐτοῦ φρενοβλάβειαν καὶ τὴν ἣν πρὸς αὐτὸν δυσμένειαν ἔφερον, καθῃρέθη τοῦ θρόνου ἐξ αἰτίας τοιᾶσδε. Οἱ Τραπεζούντιοι ὁρῶντες ὁσημέραι τοὺς κληρικοὺς διαφερομένους τῷ σφῶν πατριάρχῃ πέμπουσι τῷ βασιλεῖ νομίσματα χρυσᾶ χίλια, δεόμενοι ἐκλέξαι αὐτοὶ πατριάρχην ὃν ἂν ἐθέλωσι· δεξάμενος οὖν αὐτὰ ὁ σουλτάνος καὶ τὴν ἄνοιαν αὐτῶν καταγνοὺς ἔδωκεν αὐτοῖς τὴν ἄδειαν τῆς ἐκλογῆς.

ΚΕΦ. Δ'.

Τὰ ἐπὶ τῆς πατριαρχείας Συμεῶνος τοῦ Τραζουντίου καὶ Διονυσίου τοῦ ἀπὸ Φιλιππουπόλεως.

Ὅθεν ἐκβαλόντες οἱ Τραπεζούντιοι ληστρικῶς τὸν Μάρκον ἐπιβιβάζουσι Συμεῶνα τὸν Τραπεζούντιον, ἄνδρα πολλαῖς ἀρεταῖς κοσμούμενον καὶ παρὰ πάντων φιλούμενον. Ὁ δὲ Μάρκος μεθ' ὕβρεων πολλῶν ἐξωσθεὶς τοῦ θρόνου ἰδίᾳ ἐμόναζεν ἐν Κωνσταντινουπόλει.

—

Ἔτει σωτηρίῳ 1476, τοῦ Χιτζρὲ 881.

Καὶ τοὺς τῶν ἐπαρχιῶν μητροπολίτας δι' ἐπιστολῶν προέτρεπεν εἰς Κωνσταντινούπολιν ἐλθεῖν καὶ σύνοδον συγκροτήσαντας ἐξετάσαι τὰ γενόμενα. Ἀλισθείσης οὖν τῷδε τῷ ἔτει συνόδου ἐν Κωνσταντινουπόλει καὶ διενεχθέντων πρὸς ἀλλήλους τῶν συνοδικῶν σχίσμα ἐγένετο· οἱ μὲν γὰρ Μάρκῳ τῷ Ξυλοκαράβῃ, οἱ δὲ Συμεῶνι τῷ Τραπεζουντίῳ προσέκειντο.

Πατριαρχεία Διονυσίου τοῦ ἀπὸ Φιλιππουπόλεως.

Τοῦτο καταγνοῦσα Μαρία ἡ τοῦ σουλτάνου μητρυιὰ καὶ γυνὴ τοῦ σουλ-

τὰν Μουράτη πατριάρχην ἠβουλήθη ἀναδεῖξαι Διονύσιον τὸν Φιλιππουπόλεως μητροπολίτην, γνώριμον αὐτῇ πρὸ πολλοῦ χρόνου γεγονότα. Ὅθεν βαλοῦσα ἐπ' ἀργυροῦ πίνακος δύο χιλιάδας φλωρίων ἐνεχείρισε τῷ σουλτάνῳ καὶ τὸν φίλον αὐτῆς Διονύσιον πατριάρχην προβληθῆναι ἠτήσατο· ὅστις τὸν χρυσὸν δεξάμενος καὶ εὐχαριστήσας αὐτῇ πρόγραμμα δέδωκε γενέσθαι τὴν αὐτῆς ἀξίωσιν. Διὸ ἀνεβιβάσθη ἐπὶ τὸν Οἰκουμενικὸν θρόνον ὁ ῥηθεὶς Διονύσιος, ὅστις ὥρμητο μὲν ἀπὸ τῆς Πελοποννήσου, ἐλθὼν δὲ εἰς Βυζάντιον Μάρκῳ τῷ Εὐγενικῷ τῷ καὶ Ἐφέσου μητροπολίτῃ διηκόνει, παιδευθεὶς ὑπ' αὐτῷ τήν τε μοναδικὴν πολιτείαν καὶ ἀρετήν· τῆς δὲ Κωνσταντινουπόλεως ἁλούσης, αἰχμάλωτος σὺν τοῖς λοιποῖς γεγονὼς ὑπό τινος χριστιανοῦ Ἀδριανουπολίτου τῆς δουλείας λυτροῦται, καὶ μετ' ὀλίγον διὰ τὴν ἀρετὴν Φιλιππουπόλεως μητροπολίτης προχειρίζεται, εἶτα καὶ εἰς τὸν Οἰκουμενικὸν θρόνον τὸν ῥηθέντα τρόπον ἀνάγεται· οὗ γενομένου ὁ μὲν Μάρκος ὁ Ξυλοκαράβης εἰς τὴν ἀρχιεπισκοπὴν Ἀχριδῶν μετετέθη, ὁ δὲ Συμεὼν ὁ Τραπεζούντιος ἐν τῇ τοῦ Στενημάχου μονῇ ἀπῆλθε μονάσων.

—

Ἔτει σωτηρίῳ 1477, τοῦ Χιτζρὲ 882.

Ὁ σουλτὰν Μεχμέτης ὑποτάσσει τὴν Ἀλεξάνδρειαν τὴν ἐν Ἰσσῷ τῆς Κιλικίας, κτισθεῖσάν ποτε ὑπὸ τοῦ Μακεδόνος Ἀλεξάνδρου, τουρκιστὶ Σκενδεροῦνα, καὶ ἰταλιστὶ Ἀλεξανδρέτα λεγομένην· κεῖται ὑπὸ τῷ θρόνῳ τοῦ Ἀντιοχείας, πόλις οὖσα παράλιος καὶ δυσκραεστάτου ἀέρος. (Διὰ ταύτης διῆλθον ἐγὼ μετὰ τοῦ Ῥαγὶπ-πασσᾶ, ἔτει σωτηρίῳ 1751, ἀπερχομένου εἰς Ἔδεσσαν, καὶ πάλιν διῆλθον μετὰ τοῦ αὐτοῦ, ἔτει σωτηρίῳ 1757, ἐρχομένου εἰς Κωνσταντινούπολιν μὲ τὸ βεζαρέτι-οὐζμᾶ.) Ἥρπασε δὲ ταύτην τότε ὁ σουλτὰν Μεχμέτης ἀπὸ τῆς ἐξουσίας τοῦ βασιλέως τῆς Αἰγύπτου Καΐτ-πέη, ἐνὸς ὄντος τῶν βασιλέων τοῦ Δεβλέτι Τζερακισέ.

—

Ἔτει σωτηρίῳ 1478, τοῦ Χιτζρὲ 883.

Κτίζει ὁ σουλτὰν Μεχμέτης ἐν τῇ Κωνσταντινουπόλει παλάτιον ὅπερ ἐστὶ τὸ καὶ μέχρι τοῦδε παρὰ τῶν διαδόχων αὐτοῦ σουλτάνων οἰκούμενον ἐν τῷ Βυζαντίῳ.

—

Ἔτει σωτηρίῳ 1479, τοῦ Χιτζρὲ 884.

Ὁ Ἀλιαδὶν-πέης ζητεῖ τὴν παρὰ τοῦ σουλτὰν Μεχμὲτ συμμαχίαν κατὰ τοῦ ἰδίου πατρὸς Μπαδδὰκ-πέη βασιλέως τῆς Κίνας, Τζίνι Ματζὶν τουρκικώτερον λεγομένης. Δίδωσι τοίνυν στρατὸν ὁ σουλτάνος τῷ Ἀλιαδὶν πέῃ, ὅστις δι' αὐτοῦ νικήσας τὸν ἴδιον πατέρα φυγεῖν κατηνάγκασε πρὸς τὸν βασιλέα τῆς Αἰγύπτου.

—

Ἔτει σωτηρίῳ 1480, τοῦ Χιτζρὲ 885.

Ὁ σουλτὰν Μεχμέτης φονεύει τὸν ἴδιον υἱὸν Μουσταφᾶν τὸν προῤῥηθέντα, τὸν καὶ ἡγεμόνα τῆς Καραμανίας, ὡς βιάσαντα τὴν γυναῖκα τοῦ Γεδὶκ-Ἀχμὲτ-πασσᾶ.

Πολεμᾶ ὁ σουλτάνος μὲ τοὺς Ἐνετοὺς καὶ νικᾷ αὐτοὺς παρὰ τῷ ποταμῷ Ποντίῳ διὰ τοῦ Γεδὶκ-Ἀχμὲτ-πασσᾶ.

Τὸν Ἀλεξανδρείας Μελέτιον τὸν Πηγᾶν, πατριαρχεύσαντα ἔτη δέκα καὶ ἑπτὰ καὶ θανόντα, διεδέχθη Κύριλλος ὁ Λούκαρις, Κρὴς τὴν πατρίδα, Κωνσταντῖνος τὸ πρότερον ὀνομαζόμενος, ἀνὴρ πεπαιδευμένος καὶ ἐνάρετος. Ἔγραψεν ἐπιστολὴν εἰς τὴν Κωνσταντινούπολιν, τῷ ἔτει 1612, πρὸς Ἰωάννην τὸν Οὐΐταν Βογάρδον, ἐν ᾗ πρὸς τοῖς ἄλλοις φησὶ καὶ τόδε. «Φαίνονταί τι» νες ἐξονειδίζειν τὴν τῆς Ἀνατολικῆς ἐκκλησίας ἀμάθειαν, ὅτι αἱ τῶν » γραμμάτων σπουδαὶ καὶ ἡ φιλοσοφία εἰς ἄλλα μέρη μετέβησαν. Ἀλλὰ » πάντως διὰ τοῦτο, ὅτι νῦν ἀμαθής ἐστιν, ἡ Ἀνατολικὴ ἐκκλησία λίαν » μακαρία δύναται νομισθῆναι, μὴ γινώσκουσα ὁποῖαί εἰσιν αἱ ὀλέθριοι ζη» τήσεις αἱ τὰς τῶν ἀνθρώπων ἀκοὰς κατὰ τοῦτον τὸν χρόνον μιαίνουσαι.» Ἐσφρίγα γὰρ ἐν τούτοις τοῖς χρόνοις παρὰ τὰς ἄλλας αἱρέσεις καὶ ἐν τῷ Βελγίῳ ἡ τῶν Ἀρμενίων δίχοστασία, διὰ τοῦτο ταῦτα γράφει ὁ Λούκαρις, ὅστις πατριαρχεύσας ἐν τῷ θρόνῳ τῆς Ἀλεξανδρείας ἔτη δεκαοκτὼ μετετέθη ὕστερον καὶ εἰς τὸν τῆς Κωνσταντινουπόλεως Οἰκουμενικὸν θρόνον. Ψεύδεται οὖν ἀναιδῶς ὁ συκοφάντης καὶ παραχαράκτης τῆς ἀληθείας Δομένικος ὁ Βερνῖνος, ὅστις, τόμῳ δ' τῶν Αἱρέσεων, σελ. 611, γράφει ἀνερυθριάστως ἐπὶ ἀπάτῃ τῶν πολλῶν, τὸ ὅτι ὁ μακάριος Κύριλλος ἦν ποτε τοῦρκος, καὶ μετὰ τὸ πατριαρχεῦσαι ἐν τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἐγένετο καλβινιστὴς, καὶ διὰ τοῦτο ὑπὸ τῶν Ὀθωμανῶν ἀπεπνίγη. Ὅθεν μανθανέτω πᾶς τις πόσον συκοφαντοῦσιν ἡμᾶς τοὺς ὀρθοδόξους οἱ κατόλικοι, καὶ πόσον τὸ καθ' ἡμῶν τῶν Ἀνατολικῶν εὐσεβῶν ὀρθοδόξων ἔχθιστον ἔχθος τῶν Δυτικῶν παπιστῶν.

Τοὺς ῥηθέντας δύο φυγάδας, Καλενδέρογλουν καὶ Ταβίλην, ζητεῖ ὁ σουλτὰν Ἀχμὲτ παρὰ τοῦ βασιλέως τῶν Περσῶν· ἀλλ' αὐτὸς προπαροτρυνθεὶς ὑπ' αὐτῶν εἰς τὸν κατὰ τοῦ σουλτάνου πόλεμον οὐκ ἀπέδωκεν αὐτούς· ὅθεν ὀργισθεὶς ἐπὶ τούτῳ ὁ σουλτὰν Ἀχμὲτ πόλεμον θεσπίζει κατὰ τῶν Περσῶν.

—

Ἔτει σωτηρίῳ 1604.

Ὁ Μουρὰτ-πασσᾶς ὁ προῤῥηθεὶς ἑτοιμασθεὶς ἐφορμῆσαι κατὰ τῶν Περ-

σῶν θνήσκει. Διορίζεται ἀντ' αὐτοῦ ὁ Νασοὺχ-πασσᾶς, (τὸ Νασοὺχ σημαίνει τὸ Βενιαμίν·) ἀλλ' οὐδὲν ἀνύσας ἐπανῆλθεν ἄπρακτος εἰς τὴν Κωνσταντινούπολιν, κατηγορεῖται ὡς ἀμελὴς καὶ καρατομεῖται. Γίνεται βεζίρης ὁ Μεχμὲτ-πασσᾶς καὶ διορίζεται εἰς τὸν κατὰ τῶν Περσῶν πόλεμον.

Πατριαρχεία Νεοφύτου τοῦ ἀπὸ Ἀθηνῶν.

Παραιτησαμένου τοῦ Κὺρ Ματθαίου καὶ ἐνδυσαμένου τὸ μέγα σχῆμα τῆς μοναδικῆς, ἀναβιβάζεται εἰς τὸν Οἰκουμενικὸν θρόνον Νεόφυτος ὁ Ἀθηνῶν μητροπολίτης, ὡς τὸ περὶ αὐτοῦ καταστρωθὲν ὑπόμνημα ἐν τῷ τῆς Ἐκκλησίας κώδηκι δηλοῖ, οὕτω πως ἔχον. «Ἐπειδὴ τοῦ πατριάρχου Κὺρ Ματθαίου » ἰδίᾳ θελήσει καὶ προαιρέσει ἐνδυσαμένου τὸ μέγα σχῆμα της μοναδικῆς » πολιτείας, ψήφῳ καὶ δοκιμασίᾳ καὶ κοινῇ συμφωνίᾳ τῶν εὑρεθέντων ἀρ- » χιερέων καὶ Ὑπερτίμων, προεβιβάσθη εἰς τὸν πατριαρχικὸν Οἰκουμενικὸν » θρονον τῆς Κωνσταντινουπόλεως ὁ Παναγιώτατος πατριάρχης Κὺρ Νεό- » φυτος, μετατεθεὶς ἀπὸ τῆς μητροπόλεως Ἀθηνῶν, καὶ τὰ ἑξῆς».

Ἀγκαλὰ καὶ ὁ Μορέρης εἰς τὸ λεξικόν του, τόμῳ β' σελ. 469, νὰ γράφῃ ὅτι μετὰ τὸν δὲ τὸν Ματθαῖον νὰ ἐπατριάρχευσε Γαβριὴλ τις ὁ ἀπὸ Θεσσαλονίκης ἔτη δύο, καὶ μετὰ τοῦτον Θεοφάνης τις ὁ ἀπὸ Ἀθηνῶν νὰ ἐπατριάρχευσε μῆνας ἑπτὰ, εἶτα ἐπιτροπικῶς νὰ διῴκησε τὸν Οἰκουμενικὸν θρόνον ἔτος ἓν ὁ Ἀλεξανδρείας Μελέτιος ὁ Πηγᾶς, εἶτα νὰ ἐπατριάρχευσε πάλιν τὸ δεύτερον ὁ αὐτὸς Ματθαῖος ἔτη πέντε, καὶ νὰ ἐξώσθη μετὰ ταῦτα ὑπὸ τοῦ Ἀθηνῶν Νεοφύτου, παρ' οὐδενὶ ὅμως ἄλλῳ τὰ τοιαῦτα μυθολογήματα οὐδόλως γραφῇ παραδοθέντα, οὐκ ἔχουσιν ἀκολούθως τὸ ἀξιόπιστον.

Ἐπὶ τούτου τοῦ Νεοφύτου γέγονε καὶ τόμος συνοδικὸς τοιοῦτος.

« Ἐπειδὴ, διὰ τὰ πολλὰ χρέη ἅπερ προεξένησεν ὁ καιρὸς καὶ αἱ διάφο- » ροι γνῶμαι καὶ προαιρέσεις τινων εἰς τὴν Μεγάλην Ἐκκλησίαν, ἀπὸ τοῦ » καιροῦ τῆς μεγάλης συνόδου, ἐγένοντο μὲν ἀποκοπαὶ καὶ ζημίαι καὶ δό- » σεις καὶ ἀπαιτήσεις πολλαὶ, καὶ καθαιρέσεις ἀρχιερέων εἰς τοῦτο προέ- » βησαν, καὶ συνήχθησαν μὲν ἄσπρα πολλὰ, οὐδεμία δὲ διόρθωσις ἢ ἐξό- » φλησις ἐγένετο μέχρι τῆς σήμερον ἡμέρας, ἀλλ' ἔτι εὑρέθησαν ὀφειλόμε- » να ἄσπρων λεπτῶν ὑπὲρ τὰ τριάκοντα φορτία, ἤτοι πουγγεῖα τριακό- » σια· τούτου χάριν ἡμεῖς οἱ συνελθόντες ἀρχιερεῖς ἐν Κωνσταντινουπόλει, » διασκεψάμενοι, συμπαρόντων καὶ τῶν ἐντιμοτάτων κληρικῶν τῆς Με- » γάλης Ἐκκλησίας, ἐποιήσαμεν ἀποκοπὴν τελείαν εἰς ἐξόφλησιν τοῦ χρέ- » ους τούτου τοῦ παλαιοῦ. Τούτου χάριν γράφοντες νομοθετοῦμεν ἵνα ἐάν » τις πάντων τῶν ὑπὸ τὴν ἐπαρχίαν τὴν ἡμετέραν τῆς Κωνσταντινουπό- » λεως ἀρχιερέων, μητροπολιτῶν δηλαδὴ, ἀρχιεπισκόπων καὶ ἐπισκόπων, » παρεβαίνων τὴν ἐν τῷ καταστίχῳ γεγενημένην ἀποκοπὴν, μὴ θελήσῃ » πληρῶσαι τὸ ἀνάλογον αὐτοῦ, ὑπάρχῃ καθηρημένος καὶ γεγυμνωμένος » πάσης ἀρχιερατικῆς τάξεως, καὶ ἔκπτωτος τοῦ θρόνου καὶ τῆς τιμῆς αὐ- » τοῦ· καὶ κατὰ τὴν τελείαν ἀπόφασιν τῆς τε μεγάλης ἐκείνης συνόδου καὶ

» τῶν καθεξῆς, ἔχῃ ἄδειαν ὁ Παναγιώτατος ἡμῶν δεσπότης, Κὺρ Νεόφυ-
» τος, χειροτονῆσαι ἀπροκριματίστως ἕτερον ἀντ' αὐτοῦ τοῦ ἀπειθήσαντος
» καὶ μὴ πληρώσαντος ἕως τῆς ἑορτῆς τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωρ-
» γίου τοῦ ἐλευσομένου χρόνου τῆς ά Ἰνδικτιῶνος. Ὅθεν ἐγένετο καὶ τὸ πα-
» ρὸν σημείωμα εἰς δήλωσιν καὶ ἀσφάλειαν. Ἔτει ἀπὸ Ἀδὰμ 7*** ἐν
» μηνὶ Ἀπριλίῳ Ἰνδικτιῶνος ιέ.

—

Ἔτει σωτηρίῳ 1605, τοῦ Χιτζρὲ 1014.

Ὁμοίως ἐπὶ τούτου τοῦ πατριάρχου Νεοφύτου ἐγένετο συνοδικὴ ἀπόφασις μηκέτι Πολυφέγγους ἐπίσκοπον χειροτονεῖσθαι, ἀλλὰ ταύτην τὴν ἐπαρχίαν ὑποκεῖσθαι τῷ Κορίνθου μητροπολίτῃ.

Ἄρχεται ὁ σουλτὰν Ἀχμὲτ οἰκοδομεῖν τὸ ἐν τῷ Ἱπποδρόμῳ παρὰ τῇ Ἁγίᾳ Σοφίᾳ μέγιστον καὶ πολυέξοδον τζαμὶ λεγόμενον μέχρι τοῦδε Σουλτὰν-Ἀχμὲτ τζαμισί. Κατεδαπανήθησαν ὑπέρπολλα, καὶ πάντα τὰ συναχθέντα ἐπὶ τῆς ἐννεαετοῦς καὶ ἀνεξόδου βασιλείας τοῦ πατρός του.

—

Ἔτει σωτηρίῳ 1606, τοῦ Χιτζρὲ 1015.

Πατριαρχεία Ῥαφαὴλ τοῦ Β' τοῦ ἀπὸ Μεθύμνης.

Τὴν πατριάρχην Νεόφυτον ἐκβάλλουσι τοῦ θρόνου ἔτη δύο πατριαρχεύσαντα καὶ ὑπερόριον ποιοῦσι, καὶ ἀνάγεται εἰς τὸν θρόνον, ψήφῳ καὶ δοκιμασίᾳ συνοδικῇ τῶν ἐνδημούντων ἀρχιερέων καὶ τῶν παρευρεθέντων κληρικῶν τε καὶ ἀρχόντων, Ῥαφαὴλ ὁ Β' ὁ ἀπὸ Μεθύμνης· ἐπὶ τούτου ἐγένοντο αἱ ζητεῖαι καὶ τὰ ἐμβατοίκια.

Ἐπὶ τούτου τοῦ Ῥαφαὴλ τόμον συνοδικὸν ἐξέθεντο ἐν Κωνσταντινουπόλει οἱ ἀρχιερεῖς ἐπιβεβαιοῦντα τὰ πρότερον τυπωθέντα, τοὐτέστι τὸν μητροπολίτην ἢ ἐπίσκοπον τὸν μὴ παρέχοντα εὐπειθῶς τὰς ἐπ' αὐτῷ ῥιπτομένας κατ' ἔτος ζητείας, βοηθείας τε καὶ χαράτζια καὶ τὰ παραπλήσια, ὑπὸ τῶν πατριαρχῶν ἀποκριματίστως καθαιρεῖσθαι καὶ τῆς ἐπαρχίας ἐκβάλλεσθαι· ὅθεν τούτου γεγονότος, οἱ ἀρχιερεῖς δὶς καὶ τρὶς καὶ τετράκις καὶ πεντάκις καθαιρέσει καὶ ἀθωώσει ὑπεβλήθησαν, ὡς οἱ κώδηκες, ἐν οἷς αὗται σημειοῦνται, μαρτυροῦσι.

Ἐλθὼν οὖν ὁ ῥηθεὶς βεζίρης Μεχμὲτ-πασσᾶς πολλῷ τῷ στρατῷ πολιορκεῖ τὸ Ῥεβάν· ἀλλὰ μετὰ 40 ἡμέρας λύει τὴν πολιορκίαν μετὰ πολλὴν φθορὰν τοῦ ἰδίου στρατοῦ. Ὁ σὰχ Ἀπὰζ, βασιλεὺς τῶν Περσῶν, ἀνακτᾶται πάντα ἃ ἥρπασαν οἱ Τοῦρκοι ἄλλοτε παρὰ τῶν Περσῶν· καὶ ἐπὶ δέκα ἔτη τὰ ἑξῆς πολεμῶν κατὰ τῶν Ὀθωμανῶν πάντοτε τρόπαια νίκης ἤγειρε κατ' αὐτῶν καὶ φόβον μέγιστον ἐνέβαλε τοῖς Ὀθωμανοῖς, πανταχοῦ καὶ παντοίως κατασφάξας αὐτοὺς καὶ κατατροπώσας.

—

Ἔτει σωτηρίῳ 1607.

Πτῶμα Τούρκου τινος εὑρίσκεται καθ' ὁδὸν πρὸ τῆς πύλης τοῦ πατριαρχείου, ἤτοι τοῦ ναοῦ τῆς Παμμακαρίστου, ἅμα ἡμέρᾳ ἐπιφωσκούσῃ· ἐρρίφθη γὰρ ἐκεῖσε νύκτωρ, φονευθὲν εἰς ἄλλο τι μέρος. Οἱ οὖν πέριξ Τοῦρκοι, πολυάριθμοι ὄντες, ὁμοθυμαδὸν κινοῦσιν ἀγωγὴν κατὰ τῶν ἐν τῷ πατριαρχείῳ οἰκούντων, λέγοντες φονευθῆναι τὸν Τοῦρκον παρ' αὐτῶν· ἐπεὶ δὲ τοῦτο ἀποδεῖξαι οὐκ εἶχον, ἔλεγον προσέτι τὸ ὅτι δὲν ἠμποροῦν κατοικεῖν ἀσφαλῶς τὰς οἰκίας αὐτῶν καὶ τὸν μαχαλᾶν ἐκεῖνον, φοβούμενοι καὶ τοῦ λοιποῦ τοιαύτας θανασίμους ἐπιβουλὰς τῶν Χριστιανῶν, καὶ ἐζήτουν ἐπιμόνως νὰ διωχθῇ ὁ πατριάρχης ἐκεῖθεν καὶ νὰ γένῃ ἡ Παμμακάριστος τζαμί· ὃ καὶ ἐγένετο, καὶ ὠνομάσθη Φετιὲ-τζαμισί, ἤτοι τῆς νίκης, μέχρι τοῦδε σωζόμενον καὶ οὕτω καλούμενον· καὶ ἔμεινεν ὁ πατριάρχης ἄνευ ἐκκλησίας τε καὶ πατριαρχείου, καὶ διεσκορπίσθησαν οἵ τε ἀρχιερεῖς καὶ οἱ λοιποὶ πατριαρχικοὶ εἰς διάφορα μέρη τῆς πόλεως.

Οὕτως οὖν οἱ Ῥωμαῖοι ἔχασαν καὶ τὴν Παμμακάριστον τελευταῖον, ἀφοῦ κρίμασιν οἷς οἶδεν ὁ Κύριος ἔπεσαν εἰς χεῖρας ἀλλοεθνῶν, καὶ ἔχασαν τοσαῦτα ἐν Κωνσταντινουπόλει ἱερὰ κειμήλια, ἅγια λείψανα, μέρη ἀπὸ τοῦ τιμίου ξύλου τοῦ Σταυροῦ, λόγχην καὶ ἄλλα τῶν ἐν τῷ Πάθει τοῦ Κυρίου, ἐνδύματα αὐτοῦ τε καὶ τῆς Θεοτόκου καὶ ἄλλων ἁγίων. Ὅρα Δοσίθ. Βιβ. ιά, κεφ. έ σελ. 1152.

Τέλος πάντων, ἀδείᾳ τοῦ σουλτάνου, ἀποκατέστησαν πατριαρχεῖον τὸν ἐν τῷ Διπλοφαναρίῳ ναὸν τοῦ Ἁγίου Γεωργίου, ἐπαυξήσαντες τὴν μικροτάτην ἐκείνην ἐκκλησίαν καὶ οἰκοδομὰς περὶ αὐτὴν ἀνεγείραντες, ὡς δῆλον ἐκ τοῦδε τοῦ συνοδικοῦ γράμματος.

« Ῥαφαὴλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώ-
» μης, καὶ Οἰκουμενικὸς πατριάρχης.

« Ἐπειδὴ πατριαρχεῖον οὐκ ἦν, καὶ ἐν αὐτῷ κελλία οὐχ εὑρίσκοντο, ὥ-
» στε ἀναπαύεσθαι τοὺς προσερχομένους ἀρχιερεῖς, καὶ νῦν, προνοίᾳ θεοῦ
» καὶ εὐδοκίᾳ, καὶ πατριαρχεῖον ἐγένετο καὶ ὠνομάσθη ὁ θεῖος ναὸς τοῦ
» Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου ὁ ἐν τῷ Διπλοφα-
» ναρίῳ, καὶ κελλία ἱκανὰ ἀνεκαινίσθησαν ἐν αὐτῷ εἰς παντοίαν ἀνάπαυ-
» σιν· τούτου χάριν, τῆς ἡμῶν Μετριότητος συνοδικῶς προκαθημένης, μετὰ
» τῶν παρευρεθέντων ἐνταῦθα ἱερωτάτων ἀρχιερέων καὶ Ὑπερτίμων, τῶν
» ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τῶν τι-
» μιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Με-
» γάλης Ἐκκλησίας, κοινῇ γνώμῃ ἀπόφασις τελεία ἐγένετο ἵνα ἀπὸ τοῦ
» νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα πάντες οἱ, ἢ δι' ἀνάγκην τῆς Ἐκκλη-
» σίας, ἢ δι' ἰδίαν χρείαν, προσερχόμενοι εἰς τὴν Κωνσταντινούπολιν ἀρχιε-
» ρεῖς ὅλως μὴ τολμῶσιν ἔξω τοῦ πατριαρχείου ἐν ἀλλοτρίοις οἴκοις εἰ-
» σέρχεσθαι καὶ καθέζεσθαι, διὰ τὴν ὑποψίαν καὶ τὸ ἀσκανδάλιστον· ἀλλὰ
» γνώμῃ τῆς ἡμῶν Μετριότητος εἰσέρχωνται ἐν τῷ πατριαρχείῳ καὶ εὑ-
» ρίσκωνται ἐν αὐτῷ, καὶ πάλιν ἀδείᾳ ἡμετέρᾳ ἐν καιρῷ χρείας ἐξέρχωνται.

» Εἰ δέ τις ἐξ αὐτῶν οὐ στέρξει τοῦτο, ἀλλ' εὐθὺς ἔξω τοῦ πατριαρχείου
» οἰκήσει, καὶ τοῦ παρόντος καταφρονήσει, ἀργὸς ἔστω χρόνον ἕνα πάσης
» ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως· καταφρονῶν δὲ τῆς ἀργίας καὶ ἀ-
» φωρισμένος· ἂν δὲ σκάνδαλόν τι προξενήσῃ καὶ ζημίαν τῇ ἐκκλησίᾳ
» τοῦ Χριστοῦ, καὶ καθῃρημένος τῆς ἀρχιερωσύνης αὐτοῦ, καὶ ἐστερημέ-
» νος τοῦ θρόνου καὶ πάσης τῆς ἐπαρχίας αὐτοῦ καὶ τῶν εἰσοδημάτων,
» ἑτέρου ἀπαρεμποδίστως χειροτονουμένου ἐν τῷ θρόνῳ ἐκείνῳ γνησίου μη-
» τροπολίτου. Ὅθεν καὶ τὸ παρὸν συνοδικὸν σημείωμα ἐγένετο διὰ τὴν
» εἰρήνην τῆς ἐκκλησίας καὶ τὸ ἀτάραχον. Ἐν ἔτει 7111 Ἰνδικτιῶνος ά.

—

Ἔτει σωτηρίῳ 1608.

Τὸν Ἱεροσολύμων Σωφρόνιον, πατριαρχεύσαντα ἔτη 29 καὶ παραιτησάμενον διὰ τὸ γῆρας, διεδέχθη ὁ Θεοφάνης.

ΚΕΦ. ΚΑ'.

Δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Νεοφύτου τοῦ ἀπὸ Ἀθηνῶν, καὶ δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Ῥαφαὴλ τοῦ ἀπὸ Μεθύμνης, καὶ πατριαρχεία Τιμοθέου τοῦ ἀπὸ Παλαιῶν Πατρῶν.

—

Ἔτει σωτηρίῳ 1609.

Ἔτη ὅλα τέσσαρα καὶ ἡμέρας τινας πατριαρχεύσας ὁ Ῥαφαὴλ παραιτεῖται, καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον τὸ δεύτερον ὁ αὐτὸς Νεόφυτος ὁ Β' καὶ σώζεται τούτου καὶ συνοδικὸν περὶ συνοικεσίων τὸ ἑξῆς.

« Νεόφυτος ἐλέῳ Θεοῦ κτλ».

« Τῆς ἡμῶν Μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐ-
» τῇ τοῦ τε Μακαριωτάτου καὶ Ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων Κὺρ

» Θεοφάνους, καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ Ὑπερτί-
» μων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουρ-
» γῶν, ἐπὶ θεωρίᾳ καὶ σκέψει ἐκκλησιαστικῶν τινων ἀναγκαίων ὑποθέσεων,
» πρὸς τοῖς ἄλλοις τοῖς παρὰ τῶν ἀρχιερέων προβαλλομένοις ζητήμασι, μετὰ
» πολλῆς ἐφέσεως καὶ ἱκεσίας παρὰ πολλῶν τῶν τότε συνεισρευσάντων, οὐ
» μόνον ἀρχιερέων, ἀλλὰ δὴ καὶ κληρικῶν, ἀπῃτήθη καὶ ἠρωτήθη τίνι τρό-
» πῳ καὶ διὰ ποίαν αἰτίαν εὑρίσκονται ἀμφιβαλλόμενα τὰ δύο ταῦτα,
» τὸ μὴ ἐξεῖναι δυσὶν ἀδελφοῖς δύο πρώτας ἐξαδέλφας λαβεῖν, καὶ τὸ κω-
» λύεσθαι εἰς γάμου κοινωνίαν ἐλθεῖν τὸν σαρκικὸν τοῦ ἀναδόχου υἱὸν εἰς
» τὴν ἐπ' ἀδελφῷ ἀνεψιὰν τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ. Ὧν τὴν ἀμφιβο-
» λίαν λύσαι βουλόμενοι, ἀναπτύξαντες τοὺς θείους καὶ ἱεροὺς νόμους καὶ
» κανόνας, εὕρομεν τὸν μὲν ἐξ ἀγχιστείας τοῦτον παρὰ μηδεμιᾶς ἄλλης
» συνόδου κωλυθέντα, ὡς ἕκτου βαθμοῦ τυγχάνοντα, εἰμὴ μόνον ἐπὶ τῆς
» πατριαρχείας τοῦ Σισινίου ἐκείνου, ὃν καὶ μετὰ ταῦτα ὁ ἀοίδιμος καὶ
» εὐσεβέστατος βασιλεὺς Κὺρ Ἀλέξιος ὁ Κομνηνὸς διὰ θεσπίσματος αὐτοῦ
» οὕτωσὶ κατὰ λέξιν διακελεύεται καὶ συγχώρησιν, ὡς φαίνεται, δίδωσιν,
» ὅπως ἂν ἀμφότερα καλῶς διαφυλαχθῶσι καὶ σεβασθῶσιν, ἥ,τε μεγα-
» λειότης τῶν βασιλικῶν τε καὶ ἀρχιερατικῶν διαταγμάτων, καὶ ἡ τῶν
» νόμων καὶ ἡ τῶν Κανόνων ἀκρίβεια. Μήτε παντελῶς δοτέον
» τῷ νόμῳ τούτῳ τὴν λύσιν, μήτε πάντῃ ἐπιτρεπτέον
» αὐτῷ καὶ αὖθις τὸ ἐνεργόν, ἀλλὰ τὴν μέσην βαδι-
» στέον, ὅφασι, καὶ βασιλικὴν, καὶ ἄμφω συντηρητέον,
» τό τε περὶ τὸν τομογράφον ἐκεῖνον ἀρχιερέα σέβας
» καὶ τοὺς ἐπιμνησθέντας τοῦ τόμου αὐτοῦ βασιλεῖς,
» καὶ τὸ μηδὲν τοῖς νόμοις ἀπᾷδον καὶ τοῖς Κανόσι
» προτρέψασθαι, ὅπερ ὁ τοιοῦτος νόμος εἰσήνεγκεν.
» Χρὴ γὰρ τὸ ἀπὸ τοῦ τοιούτου εἰσενηνεγμένον συνάλ-
» λαγμα, ἤδη μὲν συντελεσθὲν καὶ πρὸ ἐρωτήσεως, μὴ
» διασπᾶσθαι, ἐπιτιμίοις δὲ τοὺς οὕτως εἰς γάμον
» ἁρμοσθέντας βαρύνεσθαι, κατὰ τὴν κρίσιν καὶ δο-
» κιμασίαν τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ συντηρεῖ-
» σθαι τούτοις τὸ συνοικέσιον· φθάσαν δὲ πεσεῖν εἰς
» ἐρώτησιν μὴ ἐνδίδοσθαι χωρὶς τῶν ἀρμοζόντων ἐπι-
» τιμίων καὶ ἐντολῶν, δι' ὃ σέβας ἄνωθεν εἴρηται,
» μηδὲ ἀδεῶς καὶ ἀνυποστόλως καὶ ἀναιτίως τοῖς
» ἐρωτήσασιν ἐπιτρέπεσθαι, ἀλλὰ μετὰ ἐντολῆς, μᾶλ-
» λον δὲ καὶ ἀνάμνησιν τοῦ ῥηθέντος τόμου παρὰ τῆς
» ἐκκλησίας λαμβάνειν αὐτοὺς καὶ τῶν ἐν αὐτῷ δια-
» τασσομένων. Καὶ εἰ μὲν τὸ θέσπισμα τιμᾷν προαι-
» ρούμενοι καὶ τὰ ἐν αὐτῷ διειλημμένα φυλάττειν
» ἀπαρασάλευτα βούλοιντο, ἐπαινετέοι πάντως εἰ-
» σιν· εἰ δὲ τὸ παρ' αὐτοῦ κεκωλυμένον διαπράττεσθαι
» προαιροῖντο, συγχωρηθήσονται μὲν τοῦτο ποιεῖν,

» πλὴν ὅμως τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπαγό-
» μενοι. Τὸν δὲ ἐκ τοῦ θείου βαπτίσματος προειρῆμένον γάμον ὡσαύ-
» τως καὶ αὐτὸν ἀκώλυτον καὶ παρὰ μόνου τοῦ Κρητὸς ἐκείνου Ζαχαρίου
» Μαραφορᾶ ἐμποδιζόμενον. Φησί γαρ ῥητῶς ὁ Κανών, Οὐ δύναμαι
» λαβεῖν ἣν ἐκ τοῦ Ἁγίου Βαπτίσματος ἀνεδεξάμην,
» οὔτε τὴν αὐτῆς μητέρα ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὁ υἱός
» μου· καὶ παρακατιὼν λέγει: Ταῦτα μόνα φυλακτέα, τὰ
» δ' ἐπέκεινα ἀπαρατηρήτως εἰς γάμον συνάπτεσθαι.
» Καὶ εἰ μὲν τὰ τοιαῦτα συναλλάγματα τῷ τότε ἐλύθησαν, καὶ ἐγίνετο
» χριστιανισμοῦ ὄντος, πολλῷ μᾶλλον τανῦν συμφέρει γίνεσθαι διὰ τὴν
» δυστυχίαν καὶ στενοχωρίαν τοῦ Γένους. Γράφοντες οὖν ἀποφαινόμεθα
» ἐν Ἁγίῳ Πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ, ἵνα ὁ μὲν γάμος οὗτος, ὡς
» τὸν ἀριθμὸν τῆς κατὰ πᾶσαν ἀνάγκην ὀφειλομένης προφυλακῆς τῆς ἐξ
» ἀγχιστείας συγγενείας τοῦ ἕκτου βαθμοῦ σῶον ἔχων, μόνην δὲ τὴν
» παρατήρησιν ἥτις καὶ αὐτὴ εἰς οὐδὲν λογίζεται, εἴη συγκεχωρημένος
» καὶ λελυμένος, καὶ γίνηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀπροκρματί-
» στως καὶ ἀδιστάκτως χωρίς τινος ἐπιτιμίου κατὶ κανόνος. Εἰ γὰρ καὶ
» τότε ὁ ἀοίδιμος βασιλεὺς καὶ ἡ περὶ αὐτὸν σύνοδος, διὰ τὸν πρὸς τὸν
» πατριάρχην ἐκεῖνον Σισίνιον σέβας, μετά τινος ἐπιτιμίου καὶ ἐντολῆς
» ἐθέσπισε γίνεσθαι, ἀλλ' ὅμως ἡμεῖς, καὶ πρὸς τὴν τοῦ καιροῦ κατάστα-
» σιν, καὶ τὴν τοῦ ἡμετέρου Γένους δουλείαν, καὶ τὸ τῶν πολλῶν μικρόψυ-
» χον ἀπεβλέποντες, τοῦ ἐπιτιμίου τοὺς συναπτομένους ἀπολύομεν, καὶ
» ταῦτα ἵνα μὴ καί τισι πρὸς φιλοχρηματίαν μόνην τὸ ὄμμα ῥέπουσι λα-
» βὴν ἐπιδαψιλεύσωμεν. Ὁ δὲ ἐκ τοῦ Ἁγίου Βαπτίσματος εἰς τὰ προῤῥη-
» θέντα καὶ μόνα πρόσωπα φυλάττηται, τὰ δὲ περαιτέρω, ὡς πλάγια, γί-
» νωνται ἀκωλύτως καὶ δίχα τοῖς οἰκοῦν ἀμφιβολίας καὶ ὑποψίας, ἐξῃρη-
» μένων τῶν κατιόντων ἐξ αὐτῶν τῶν δύο πνευματικῶν ἀδελφῶν, ἤτοι
» τοῦ σαρκικοῦ υἱοῦ τοῦ ἀναδόχου καὶ τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ, ὧν ἡ
» πνευματικὴ συγγένεια τηρεῖται ἄχρι τοῦ ἑβδόμου βαθμοῦ καὶ λύεται εἰς
» τὸν ὄγδοον, ὥσπερ καὶ ἡ ἐξ αἵματος —Τὸ μὲν φυλάττεσθαι καὶ διατη-
» ρεῖσθαι καὶ περισώζεσθαι τοὺς θείους καὶ ἱεροὺς κανόνας τε καὶ νόμους
» καὶ ἔχειν αὐτοὺς τὸ ἀπαρασάλευτον καὶ ἀμεταποίητον ἀναγκαῖον πάν-
» τως καθέστηκε καὶ ἀναντίῤῥητον· τὸ δὲ ἐξεῖναι πάλιν τῇ ἀρχιερατικῇ
» συνόδῳ καὶ ἄδειαν κεκτῆσθαι μεταβάλλειν τὰ προστάγματα καὶ ἐξοικο-
» νομεῖν κατὰ καιροὺς, ἵνα μή τις ὅλεθρος ψυχικὸς γένηται, καὶ τοῦτο ὁ-
» μολογούμενόν ἐστι καὶ ἀναμφίβολον. Ἐπειδὴ τοίνυν τῆς ἡμῶν Μετριότη-
» τος συνοδικῶς προκαθημένης, καὶ συνεδριαζόντων αὐτῇ τοῦ τε Ἁγιωτά-
» του καὶ Μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κὺρ Θεοφάνους, καὶ τῶν
» λοιπῶν ἱερωτάτων ἀρχιερέων, πρὸς τοῖς ἄλλοις ἀνηνέχθη εἰς μέσον καὶ ἡ-
» ρωτήθη εἰ δύναται ἀνδρός τινος γυνὴ ἐν ἀποδημίᾳ τυγχάνοντος διαζευ-
» χθῆναι ἀπ' αὐτοῦ καὶ ἑτέρῳ συναφθῆναι πρὸ τοῦ ἐπανελθεῖν αὐτὸν ἀπὸ
» τῆς ἀποδημίας, ἀποκρινόμεθα περὶ τούτου καὶ λέγομεν ὅτι· Οἱ μὲν θεῖοι
» κανόνες ἐξ ἅπαντος ἀπαγορεύουσι καὶ κωλύουσιν αὐτὴν μὴ δύνασθαι

» ποιῆσαι τοῦτο πρὸ τῆς ἑπταετίας ἢ τῆς πενταετίας τοὐλάχιστον. Ἡμεῖς
» δὲ διασκεψάμενοι τὸ περὶ τούτου συνοδικῶς, διά τε τὸ ἀνώμαλον τοῦ καιρ-
» ροῦ καὶ τὴν τοῦ ἔθνους δουλείαν, καὶ μάλιστα διὰ τὸν ἐνόντα ταῖς γυναι-
» ξὶ ψυχικὸν κίνδυνον, γράφομεν ἐν Ἁγίῳ Πνεύματι ἵνα ἀπὸ τοῦ νῦν καὶ
» εἰς τὸ ἑξῆς, εἴτις γυνὴ ἔχουσα ἄνδρα νόμιμον ἀποδημοῦντα καὶ μὴ φρον-
» τίζοντα ἐπαναστραφῆναι πρὸς αὐτὴν ἐντὸς τῆς τριετίας καὶ μόνης καὶ
» συνοικῆσαι μετ' αὐτῆς, καὶ αὐτὴ ὑπὸ ἐνδείας στενοχωρουμένη καὶ κιν-
» δυνεύουσα ψυχικῶς θελήσῃ τὴν ἀπ' αὐτοῦ διάζευξιν, ἢ διεζευγμένη καὶ
» κεχωρισμένη ἀπ' αὐτοῦ, καὶ ἔχῃ ἐπ' ἀδείας εἰς ἕτερον ἀπιδεῖν ἔννομον
» γάμον.—Πρὸς τούτοις ἔτι ἀπεφάνθη καὶ τοῦτο, εἰ τύχοι τὸν ἁπλῶς θεῖον
» λαβεῖν ἑνὸς χριστιανοῦ ἀδελφόπαιδα εἰς γυναῖκα, ἔχειν ἄδειαν καὶ τὸν
» ἁπλῶς θεῖον αὐτῆς πάλιν ἀγαγέσθαι εἰς γυναῖκα νόμιμον τὴν ἐπ' ἀδελ-
» φῇ ἀνεψιὰν τοῦ θείου αὐτῆς, καὶ εἰς οὐδὲν μετρεῖσθαι τὴν σύγχησιν.—
» Ὡσαύτως ἐγένετο καὶ ἀπόφασις ἔτι, καὶ τὸν πρὸ ἐρωτήσεως γενέσθαι
» φθάσαντα ἑβδόμου βαθμοῦ γάμον ἐξ αἵματος μὴ διασπᾶσθαι, ἀλλ' ἐκ-
» κλησιάζεσθαι ἀκωλύτως, διὰ τὴν στενοχωρίαν τοῦ Γένους. Οὕτως ἀπο-
» φαινόμεθα συνοδικῶς, μὴ τολμώντων τινῶν εἰς τὸ μετέπειτα ἀθετῆσαι
» καὶ ἀνατρέψαι τὴν παροῦσαν συνοδικὴν διάσκεψιν καὶ ἀπόφασιν, ἐν ἀρ-
» γίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ καὶ αἰωνίῳ τῷ παρὰ θεοῦ. Ὅ-
» θέν εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν καὶ πλείο-
» να τὴν διαμονὴν ἐγένετο τὰ παρόντα ἡμῶν πατριαρχικὰ σημειώματα,
» καὶ κατεστρώθησαν ἐν τῷ θείῳ καὶ ἱερῷ νομίμῳ κώδηκι τῆς τοῦ Χριστοῦ
» Μεγάλης Ἐκκλησίας. Ἐν ἔτει ζριθ', μηνὶ Ματῳ, Ἰνδικτιῶνος ἑννάτης.
» Πατριάρχης Κωνσταντινουπόλεως Νεόφυτος. Θεοφάνης ἐλέῳ θεοῦ πα-
» τριάρχης τῆς Ἁγίας πόλεως Ἱερουσαλὴμ· ὁ Θεσσαλονίκης Παΐσιος· ὁ Πα-
» λαιῶν Πατρῶν Τιμόθεος· ὁ Χαλκηδόνος Τιμόθεος· ὁ Λαρίσσης Τιμόθεος· ὁ
» Μεσημβρίας Κυπριανός· ὁ Ζιχνῶν Ἰάκωβος· ὁ Νευροκόπου Δανιήλ· ὁ Αἴ-
» νου Μελέτιος· ὁ Ξάνθης Γαβριήλ· ὁ Φαναρίου Σέργιος· ὁ Ἀρδαμηρίων Ζω-
» σιμᾶς· ὁ Σερρῶν Θεοφάνης· ὁ Νικομηδείας Γαβριήλ· ὁ Κορίνθου Ἄνθιμος·
» ὁ Προύσης Ἰωάσαφ· ὁ Φιλίππων Κλήμης· ὁ Δράμας Νεόφυτος· ὁ Βιδύνης
» Σωφρόνιος· ὁ Διδυμοτείχου Ἰωάσαφ· ὁ Κασανδρείας Σισώης· ὁ Μύλου Παρ-
» θένιος· ὁ πρώην Μυκλῶν Κύριλλος».

Ἀγκαλὰ καὶ Μελέτιος ὁ Ἀθηνῶν ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ νὰ γράφῃ ὅτι μετὰ τὴν ἔξωσιν τοῦ Ῥαφαὴλ τοῦ Β' νὰ ἐπατριάρχευσε τὸ δεύτερον ὁ προρρηθεὶς Νεόφυτος ὁ ἀπὸ Ἀθηνῶν, καὶ τοῦτο ἀληθέστατον, ὡς ἴδομεν, ὅπερ ὅμως γράφει ὅτι μετὰ τὸν Νεόφυτον αὐτὸν νὰ διώκησεν ἐπιτροπικῶς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Ἀλεξανδρείας τις Κύριλλος, εἶναι προφανὴς παραδρομὴ κονδυλίου.

—

Ἔτει σωτηρίῳ 1614

Δευτέρα πατριαρχεία Ῥαφαὴλ τοῦ ἀπὸ Μεθύμνης.

Μετὰ γὰρ τὸν προρρηθέντα Νεόφυτον, ἔτη τανῦν τὸ δεύτερον πέντε ὅλα πατριαρχεύσαντα καὶ θανόντα, ἀνεβιβάσθη τὸ δεύτερον πάλιν ὁ αὐτὸς Ῥαφαὴλ ὁ Β', ἔτει σωτηρίῳ 1614, καὶ πατριαρχεύσας ἔτη δύο πρὸς τὰς αἰωνίους μετέβη μονάς.

—

Ἔτει σωτηρίῳ 1616.

Πατριαρχεία Τιμοθέου τοῦ Β'.

Θανόντος τοίνυν Ῥαφαὴλ τοῦ Β', ψήφῳ καὶ δοκιμασίᾳ κοινῇ ἀρχιερέων τε καὶ κληρικῶν, ἀνεβιβάσθη εἰς τὸν ἀποστολικὸν πατριαρχικὸν Οἰκουμενικὸν θρόνον Τιμόθεος ὁ Β' ὁ ἀπὸ Παλαιῶν Πατρῶν· ἐγένετο δ' οὗτος πατριάρχης ἁγιώτατος καὶ κατὰ τὴν μαρτυρίαν τοῦ Κὺρ Δοσιθέου.

—

Ἔτει σωτηρίῳ 1617, τοῦ Χιτζρὲ 1026.

Μετὰ πολλὰς οὖν ἥττας τὰς ἀπὸ τοῦ σὰχ Ἀμπὰζ, βασιλέως τῶν Περσῶν, ἐπενεχθείσας τοῖς Ὀθωμανοῖς ἔρχεται ὁ ῥηθεὶς βεζίρης Μεχμὲτ-πασσᾶς εἰς τὸ Ἐρζρούμ. Καὶ φθάσας ἐκεῖ καπιτζήπασης καρατομεῖ αὐτὸν, καὶ γίνεται βεζίρης ὁ Χαλὶλ-πασσᾶς, στρατηγὸς νουνεχὴς καὶ ἀνδρεῖος, προσταχθεὶς ν' ἀκολουθῇ τὸν κατὰ τῶν Περσῶν πόλεμον. Ἑτοιμαζομένου οὖν τοῦ βεζίρη πρὸς τὸν περσικὸν πόλεμον προσπαλαίει πυρετὸς τῷ σουλτὰν Ἀχμὲτ εἰς τὴν Κωνσταντινούπολιν, ἐξ οὗ καὶ θνήσκει τῇ ιέ τοῦ Νοεμβρίου, ζήσας ἔτη 29 καὶ βασιλεύσας ἔτη 14· ἀφῆκε δὲ τρεῖς υἱοὺς, Ὀσμὰν, Μουρὰτ καὶ Ἰπραὴμ.

—

Ἔτει σωτηρίῳ 1618, τοῦ Χιτζρὲ 1027.

Βασιλεία τοῦ σουλτὰν Μουσταφᾶ.

Ἀναβιβάζεται δὲ εἰς τὸν θρόνον ὁ μικρότερος αὐτοῦ ἀδελφὸς Μουσταφᾶς. Ἐξεδόθη εὐθὺς εἰς τὰς τρυφὰς καὶ σπαταλας ὑπὲρ τὸν Σαρδανάπαλον, χωρὶς νὰ φροντίζῃ ποσῶς διὰ τὰς ὑποθέσεις τῆς βασιλείας· ἀκολουθῶν δὲ ταύτην τὴν ζωὴν ἀδιακόπως κατεβιβάσθη τοῦ θρόνου ὑπὸ τῶν ἐν τέλει μετὰ τετραμηνιαῖον διάστημα καὶ κατεκλείσθη εἰς τοὺς Ἑπτὰ Κουλάδες.

Βασιλεία τοῦ σουλτὰν Ὀσμάν.

Ἀνεβίβασαν δὲ εἰς τὸν θρόνον τὸν προρρηθέντα υἱὸν τοῦ σουλτὰν Ἀχμὲτ, Ὀσμὰν, ἄγοντα ἔτος τῆς ἡλικίας ὄγδοον.

—

Ἔτει σωτηρίῳ 1620.

Ὁ πατριάρχης Τιμόθεος, ἐκ τοῦ Πανόρμου τῆς Κυζίκου ὁρμώμενος, ἀνὴρ σεμνὸς ἦν καὶ περὶ τὰ θεῖα εὐλαβής. Οὗτος καὶ τὸν ναὸν τοῦ Ἁγίου Γεωργίου τὸν ἐν τῷ νέῳ πατριαρχείῳ ἀνοικοδομήσας ἐπηύξησε· καὶ πρὸς τοὺς Σιναΐτας ἔγραψε συνοδικὸν κείμενον ἐν τῷ κατὰ Ἀνανίου βιβλ. ά.

Συγκροτεῖ καὶ δευτέραν σύνοδον, παρόντος καὶ τοῦ Ἀλεξανδρείας Κυρίλλου, τοῦ Ἀντιοχείας Εὐθυμίου καὶ τοῦ Ἱεροσολύμων Σωφρονίου, ἥτις πρὸς τοῖς ἄλλοις καθαιρέσει ὑπέβαλε Λαυρέντιον τὸν ἀρχιεπίσκοπον τοῦ ὄρους Σινᾶ, ὡς παρὰ τὴν ἀρχαίαν παράδοσιν πρῶτον πάντων μίτραν ἐπὶ κεφαλῆς ἐν ταῖς ἱεραῖς τελεταῖς τεθεικότα.

Κατὰ μῆνα Νοέμβριον ἐφάνη ἐν τῷ οὐρανῷ σημεῖον, ὅπερ ἦν ξίφος κυρτὸν πεντάκις ἐπιμηκέστερον τῆς λόγχης, καὶ πλατὺ πόδας τρεῖς· ἐξετείνετο ἀπὸ ἀνατολῆς εἰς δύσιν, καὶ ἐφαίνετο μῆνα ὁλόκληρον μετὰ τὴν τοῦ ἡλίου δύσιν, πάντοτε μὲ τὴν αὐτὴν πολλὴν λαμπρότητα.

—

Ἔτει σωτηρίῳ 1621, τοῦ Χιτζρὲ 1030.

Χειμὼν μέγιστος εἰς τὴν Πόλιν· ἐπαγώθη ἡ θάλασσα τοῦ Βοσπόρου, καὶ διήρχοντο οἱ πολῖται πεζοὶ ἀπὸ τῆς Πόλεως ἕως εἰς τὸ Χάσκιοϊ.

Ἥρος φανέντος ἐκστρατεύει ὁ σουλτὰν Ὀσμὰν κατὰ τῶν Λέχων· ἁρπάζει παρ' αὐτῶν τὸ Χοτίνι, πέμπει τὸν χάνην λεηλατήσοντα τὰ ἐνδότερα τῆς Πολωνίας, καὶ τέλος εἰρηνεύσας ἐπὶ συμφωνίαις ἐπικερδέσι τῇ βασιλείᾳ ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν μὲ πολλὰ λάφυρά τε καὶ ἀνδράποδα.

ΚΕΦ. ΚΒ'.

Πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως. Ἐπιπήδησις εἰς τὸν Οἰκουμενικὸν θρόνον Γρηγορίου τοῦ Ἀμασείας.

Θανόντος Τιμοθέου τοῦ Οἰκουμενικοῦ πατριάρχου δηλητηρίῳ φαρμάκῳ, ἡμέρᾳ Τετάρτῃ τῆς ἑβδομάδος τῶν Παθῶν, καὶ ταφέντος ἐν τῇ μονῇ τῆς Θεοτόκου τῇ ἐν τῇ νήσῳ τῆς Χάλκης, οἱ παρευρεθέντες ἀρχιερεῖς μετὰ τῶν τῆς ἐκκλησίας κληρικῶν τε καὶ ἀρχόντων ἐξελέξαντο πατριάρχην τὸν ἤδη Ἀλεξανδρείας Κύριλλον τὸν Λούκαριν, διάγοντα τότε ἐν Μολδοβλαχίᾳ· καὶ ὁρισμὸν εἰληφότες ἤγαγον αὐτὸν ἐκεῖθεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ τῇ ἡ τοῦ Νοεμβρίου ἐκ τοῦ θρόνου τῆς Ἀλεξανδρείας, οὗ προέστη ἔτη 18, εἰς τὸν Οἰκουμενικὸν θρόνον μετέθεντο. Ψεύδεται οὖν ὁ Ἀλάτιος γράφων τὸν Λούκαριν φαρμακεῦσαι τὸν Τιμόθεον· ὅτι μὲν γὰρ ὁ Τιμόθεος δηλητηρίῳ φαρμάκῳ ἀπέθανεν, ἀληθές· ποῖος δὲ αὐτὸν ἐφαρμάκευσεν, ἄδηλον.

—

Ἔτει σωτηρίῳ 1622, τοῦ Χιτζρὲ 1031.

Δευτέρα βασιλεία τοῦ αὐτοῦ σουλτὰν Μουσταφᾶ.

Ὁ σουλτὰν Ὀσμὰν βουλεύεται ἀπελθεῖν εἰς προσκύνησιν τοῦ ἐν τῇ Μέκκᾳ ναοῦ, Κ ι α μ π ὲ λεγομένου, καὶ μεταθεῖναι εἰς τὴν Αἴγυπτον τὸν βασιλικὸν θρόνον. Ὅθεν οἱ φίλοι τοῦ ἤδη ἐξωσθέντος σουλτὰν Μουσταφᾶ διεγείρουσι τοὺς γιαννιτζάρους εἰς ἀποστασίαν· οὗ γενομένου καθαιρεῖται ὁ σουλτὰν Ὀσμὰν, καὶ ἀπάγεται εἰς τοὺς Ἑ π τ ὰ Κ ο υ λ ά δ ε ς, κἀκεῖσε πνίγεται ὑπὸ τῶν ἀνταρτῶν γιαννιτζάρων, ἄγων ἔτος τῆς ἡλικίας δωδέκατον καὶ βασιλεύσας ἔτη τέσσαρα.

Ἀναβιβάζουσι δὲ εἰς τὸν θρόνον τὸν ῥηθέντα σουλτὰν Μουσταφᾶν, τῆς εἱρκτῆς ἐκβαλόντες, Μαΐου 10, νομίζοντες ὅτι νὰ ἐσωφρονίσθη ὑπὸ τῆς δυστυχίας καὶ καθαιρέσεως. Ἀλλ' αὐτὸς εὐθὺς βασιλεύσας ἄρχεται κατεργάζεσθαι καὶ κατατολμᾷν τὰ πρῶτά του ἐλαττώματα καὶ σπατάλας μὲ περισσοτέραν προσθήκην καὶ αὔξησιν, προσθεὶς ταῖς σπατάλαις καὶ τὴν τυραννίαν, δι' ἧς ἐφόνευσε τοὺς καταβιβάσαντας αὐτόν ποτε τῆς βασιλείας, καὶ ἀμελῶν πάσας τὰς ὑποθέσεις τῆς βασιλείας.

1623

Μετατεθέντος ἤδη Κυρίλλου τοῦ Λουκάρεως εἰς τὸν Οἰκουμενικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνεβιβάσθη τῷδε τῷ 1622 ἔτει εἰς τὸν πατριαρχικὸν τῆς Ἀλεξανδρείας θρόνον ὁ Γεράσιμος. Οὗτος συνέθετο λόγους πολλοὺς σωζομένους μέχρι τοῦδε ἐν τῇ βιβλιοθήκῃ τοῦ πατριαρχείου τοῦ ἐν τῷ Καχίρῳ τῆς Αἰγύπτου. Ἀνέγνων κἀγὼ διατρίβων ἐκεῖσε λόγον αὐτοῦ ἐγκωμιαστικὸν εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, ἐν ᾧ λέγει ὅτι οὐχ ὑπέκειτο ἡ Θεοτόκος τῷ προπατορικῷ ἁμαρτήματι.

—

Ἔτει σωτηρίῳ 1623, τοῦ Χιτζρὲ 1032.

Οὕτως οὖν ἀσώτως καὶ τυραννικῶς διαβιώσας ἐπὶ τοῦ θρόνου ὁ σουλτὰν Μουσταφᾶς ὁ Α' ἐπὶ μῆνας 15, καταβιβάζεται τῆς βασιλείας ὑπὸ τῶν προύχόντων, Σεπτεμβρίου ιγ', καὶ ἐπιβιβάσαντες αὐτὸν ὄνου περιετριγύρισαν τὰς ἀγυιὰς τῆς Πόλεως χλευαζόμενον καὶ ἐμπαιζόμενον ὑπὸ τοῦ πλήθους καὶ πάντων τῶν ἐντυγχανόντων αὐτῷ καθ' ὁδὸν, καὶ καθείρξαντες ἐν τῇ εἱρκτῇ τῶν Ἑπτὰ Πύργων, μετὰ μικρὸν κατεπνίγη διὰ προσταγῆς τοῦ διαδεξαμένου τὴν βασιλείαν,

Βασιλεία σουλτὰν Μουρὰτ τοῦ Δ'.

Ὃς ὑπῆρξε σουλτὰν Μουρὰτ ὁ Δ', υἱὸς ὢν τοῦ προρρηθέντος σουλτὰν Ἀχμὲτ, ἄγων ἔτος τῆς ἡλικίας 14.

Ἦτον εἰς αὐτοὺς τοὺς χρόνους τυπογραφία εἰς τὴν Πόλιν.

Ὁ Κωνσταντινουπόλεως πατριάρχης Κύριλλος ὁ Λούκαρις, προστὰς τοῦ θρόνου μῆνας δέκα πρὸς τοῖς ἑπτὰ καὶ ἡμέρας τέσσαρας, ἀδίκως ἐξώσθη, τῷδε τῷ ἔτει Ἀπριλίου ιϛ', ἐπὶ τοῦ προρρηθέντος σουλτὰν Μουρὰτ τοῦ Δ', εἶτα καὶ ἐξωρίσθη.

Ἐπιπήδησις εἰς τὸν Οἰκουμενικὸν θρόνον Γρηγορίου τοῦ Ἀμασείας.

Γέγονε δὲ ταῦτα τῇ καταδρομῇ Γρηγορίου τοῦ Ἀμασείας μητροπολίτου, τοῦ καὶ Στραβοαμασείας ἐπικληθέντος, ὃς λῃστρικῶς τὸν Οἰκουμενικὸν θρόνον καθήρπασε, Μαΐου τῇ ιζ', ἡμέρᾳ Τρίτῃ περιβληθεὶς τὸ βασιλικὸν ἔνδυμα (συνόντων αὐτῷ δύο καθῃρημένων ἀρχιερέων, Μητροφάνους τοῦ Ἀχριδῶν καὶ Ἰωάσαφ τοῦ πρώην Σερρῶν), παρὰ τοῦ Ἐπιτρόπου Χουσεὶν πασσᾶ.

ΚΕΦ. ΚΓ'.

Πατριαρχεία τοῦ Ἀδριανουπόλεως Ἀνθίμου.

Καὶ μετὰ μῆνας τρεῖς, Αὐγούστου ιζ', ἡμέρᾳ Τετάρτῃ πρὸς τὸ ἑσπέρας, παραδοθεὶς ὁ Γρηγόριος σιδηροδέσμιος τῷ Ἀχμὲτ-ἀγᾷ εἰς τὴν Ῥόδον ἐξωρίσθη· καὶ τὸ πρωὶ τῆς ἑπομένης Πέμπτης ἔνδυμα βασιλικὸν ἐνδυθεὶς παρὰ τοῦ αὐτοῦ Ἐπιτρόπου Χουσεὶν-πασσᾶ ὁ ποτὲ Ἀδριανουπόλεως Ἄνθιμος μετὰ τῶν παρευρεθέντων ἀρχιερέων τε καὶ κληρικῶν, οὐκ ὀλίγων ὄντων, μετετέθη εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως τὸν πατριαρχικόν. Ἐπὶ τούτου οἱ ἐν Κωνσταντινουπόλει παρευρεθέντες ἀρχιερεῖς ἀφορισμῷ καὶ ἀναθέματι ὑπέβαλον τὸν ἐξωσθέντα Γρηγόριον.

Κατὰ τοῦτον δὲ τὸν χρόνον τὸ τοῦ πατριαρχείου χρέος ἦν πλεῖον τῶν ἑβδομήκοντα φορτίων ἄσπρων.

Πατριαρχεύσας οὖν ὁ Ἄνθιμος ἡμέρας πεντήκοντα ἑκὼν παρητήσατο, τῇ θ' τοῦ Ὀκτωβρίου τοῦδε τοῦ ἔτους, καὶ ἀπελθὼν ἐν τῇ τοῦ Ἁγίου Ἀθανασίου λαύρᾳ τῇ ἐν τῷ Ἄθωνι κατῴκησε.

Μετὰ τοῦτον τάττουσί τινες Φίλιππόν τινα.

Δευτέρα πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως.

Ὅθεν βασιλεύοντος τοῦ σουλτὰν Μουρὰτ τοῦ Δ' ἀνακαλεῖται ἐκ τῆς ἐξορίας Κύριλλος ὁ Λούκαρις, καὶ ἀναβιβάζεται εἰς τὸν οἰκεῖον θρόνον τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως· κἀν τούτοις ὁ Χαλκηδόνος Ἰσαὰκ πατριαρχεῦσαι βουληθεὶς ἀνακαλύπτεται, καὶ κωλυθεὶς εἰς τὴν Οὐγγρίαν ἐξορίζεται.

Ὁ Ἀμπαζᾶ-πασσᾶς, ἡγεμὼν εἰς τὸ Ἐρζρούμ, εἶχεν ἀποστατήσει ἐπὶ τοῦ σουλτὰν Μουσταφᾶ. Ὅθεν ὁ σουλτὰν Μουρὰτ πέμψας τὸν βεζίρην Τζερκὲζ-Μεχμὲτ-πασσᾶν τροποῦται αὐτὸν παρὰ τῇ Καισαρείᾳ καὶ ἀναγκάζει φυγεῖν εἰς τὸ Ἐρζρούμ· ἀλλὰ μετὰ τὴν νίκην θνήσκει ὁ βεζίρης εἰς τὸ Τοκάτι.

Εἶτα ὁ σουλτὰν Μουρὰτ διορίζει τὸν Χαφὶζ-Ἀλὴ-πασσᾶν, ἡγεμόνα τοῦ Διαρπεκὶρ, ἀπελθεῖν σὺν στρατῷ καὶ πολιορκῆσαι τὸ ὑπὸ τοῖς Πέρσαις Βαγδάτι.

Ἐν τῷ Εὐξείνῳ Ἡόντῳ παρὰ τῇ Χηλῇ, ἐν τῇ κώμῃ Σταυριᾷ, ἀπεχούσῃ τοῦ ἱεροῦ τοῦ Ἁγίου Εὐθυμίου μίλια 70, ἔστι παρακείμενον νησίδιον ἐφ' ᾧ ἦν μοναστήριον τῆς Θεοτόκου· διὰ δὲ τὸ φιλοξενηθῆναι ἐκεῖ ῥώσσους λῃστὰς μετὰ τὸ 1600 ἔτος ὁ Πιαλὶ-πασσᾶς ἀπελθὼν μετὰ ὀθωμανικοῦ στόλου κατέ-

στρεψε τὸ μοναστήριον καὶ τοὺς πατέρας διεσκόρπισε· τὰ αὐτὰ καὶ διὰ τὴν αὐτὴν αἰτίαν τότε ἔπαθε τὸ μοναστήριον τοῦ Ἁγίου Γεωργίου τὸ ἐν τῇ Θυνίᾳ νήσῳ· ἀλλὰ καὶ τὸ τοῦ Προδρόμου τὸ ἐν τῇ Σωζουπόλει· ἀπελθόντων γὰρ τῶν Ὀθωμανῶν συλλαβεῖν τοὺς ἐκεῖσε καταφυγόντας Ῥώσσους, ἐπειδὴ οἱ Ῥῶσσοι ἐπολέμησαν αὐτοῖς, οἱ Ὀθωμανοὶ πέμψαντες ὕστερον κατηδάφισαν αὐτό.

Ἐλθὼν ὁ Χαφὶζ-Ἀλὴ-πασσᾶς πολιορκεῖ τὸ Βαγδάτι ἐπὶ μῆνας ὅλους πέντε σφοδρότατα, καὶ μετὰ πολλὴν φθορὰν τῶν οἰκείων βιάζεται λύσαι τὴν πολιορκίαν διὰ τὴν τοῦ χειμῶνος ἐπέλευσιν καὶ ἐπανακάμψαι εἰς τὸ Χαλέπι.

Βουληθέντων τῶν ἀρχιερέων, ὡς ἔθος αὐτοῖς, ἐκβαλεῖν τοῦ θρόνου τὸν Κύριλλον, αὐτὸς χρησάμενος κατασκευῇ ἐνδύεται καβάδιον, καὶ ἔρχεται ἀκόντων αὐτῶν εἰς τὸ πατριαρχεῖον· ὅρα Δοσίθ. βιβλ. ιά. κεφ. θ'. § 6'.

—

Ἔτει σωτηρίῳ 1625, τοῦ Χιτζρὲ 1035.

Ὁ Χαφὶζ-Ἀλὴ-πασσᾶς φθάσας εἰς τὸ Χαλέπι καθαιρεῖται τῆς ἀρχῆς ὑπὸ τοῦ σουλτάνου, καὶ γίνεται βεζίρης ὁ Χαλὶλ-πασσᾶς, μὲ προσταγὴν ν' ἀκολουθήσῃ σφοδρῶς καὶ ἐπιμελῶς τὸν κατὰ τῶν Περσῶν πόλεμον. Ἀλλ' αὐτὸς νομίσας ἀναγκαίαν τὴν ἐξολόθρευσιν τοῦ προρρηθέντος Ἀμπαζᾶ-πασσᾶ, ἐλθὼν πολιορκεῖ αὐτὸν ἐν τῇ πόλει Ἐρζρούμ. Ἀνθίσταται ὁ Ἀμπαζᾶ-πασσᾶς γενναίως ταῖς ἐφόδοις τῶν πολεμούντων, καὶ οὐκ ἀρκεσθεὶς τούτῳ, ἐξελθὼν σὺν ὀλίγοις κατακόπτει πολλοὺς καὶ ζωγρεῖ περισσοτέρους τῶν πολιορκούντων, τέλος φυγαδεύει αὐτούς, καὶ ὁ Χαλὶλ-πασσᾶς σὺν ὀλίγοις φυγῇ τὴν σωτηρίαν εὕρατο. Ὅθεν φθάσας εἰς τὸ Διαρπεκὶρ καθαιρεῖται τῆς ἀρχῆς ὁ Χαλὶλ-πασσᾶς ὑπὸ τοῦ σουλτάνου, καὶ γίνεται βεζίρης ὁ Χοσρὲβ-πασσᾶς.

Οἱ ἰησουῖται οὐκ ἀρκεσθέντες ταῖς σφῶν ῥαδιουργίαις, δι' ὧν ἐνδελεχῶς ἐτάραττον τοὺς ἐν τῇ Δύσει βασιλεῖς τε καὶ ἡγεμόνας καὶ τὰς ὑπ' αὐτοῖς ἐκκλησίας, κακόγνωμόνως ἠβουλήθησαν διαταράξαι καὶ τὴν Ἀνατολικὴν ἐκκλησίαν. Ὅθεν διέβαλον οὕτω πικρῶς πρὸς τὴν ὀθωμανικὴν αὐλὴν τὸν Οἰκουμενικὸν πατριάρχην Κύριλλον τὸν Λούκαριν, ὥστε μικροῦ ἐδέησεν αὐτὸν ἐκβληθῆναι τοῦ πατριαρχικοῦ θρόνου ὑπὸ τοῦ σουλτὰν Μουράτ. Ἀλλ' ἀνακαλυφθείσης τῆς τῶν ἰησουϊτῶν σκευωρίας, αὐτὸς μὲν ὁ Κύριλλος τῷ θρόνῳ ἐπεβεβαιώθη, ἐκεῖνοι δὲ ἀτίμως τῆς Κωνσταντινουπόλεως ἐδιώχθησαν. Διὰ ταῦτα οὖν ἀγανακτήσαντες οἱ ἰησουῖται συκοφαντοῦσιν αὐτὸν καλβινοφρονεῖν λέγοντες.

—

Ἔτει σωτηρίῳ 1626, τοῦ Χιτζρὲ 1036.

Ὁ τοίνυν Χοσρὲβ-πασσᾶς ἔαρος φανέντος ἀπάρας ἀπὸ τὸ Διαρπεκὶρ ἔρχεται πρὸς τὸ Ἐρζρούμ, οὐ μόνον μετὰ πολλοῦ στρατοῦ ἀλλὰ καὶ μετὰ μηχανῶν πολλῶν καὶ ἑλεπόλεων, καὶ προσβαλὼν τούτοις κατὰ τῶν τῆς

πόλεως τειχῶν οὕτως ἐφοβέρισε τοὺς κατοικητὰς καὶ τοὺς τοῦ Ἀμπαζᾶ στρατιώτας, ὥστε μετὰ τὴν πέμπτην ἡμέραν τῆς πολιορκίας ὑποταγῆναι ἐθελουσίως, καὶ τὸν Ἀμπαζᾶν ἑκουσίως παραδοθῆναι τῷ βεζίρῃ Χοσρὲβ-πασσᾷ, ὅστις σιδηροδέσμιον πέμπει αὐτὸν εἰς τὸν σουλτὰν Μουράτ. Ἀλλ' ὁ σουλτάνος ἀποβλέψας εἰς τὴν ἀνδρείαν καὶ ἀνδραγαθήματά του, λησμονεῖ τὴν προδοσίαν του, δὲν τὸν φονεύει ὡς ἀντάρτην καὶ τὸν συγχωρεῖ ὡς ἀνδρεῖον· καὶ ἐλέγξας αὐτὸν διὰ τὴν ἀνταρσίαν του εἶπεν αὐτῷ ὅτι θέλει τὴν ξεπλύνει μὲ τὰς κατὰ τῶν ἐχθρῶν τῆς βασιλείας νίκας· ὅθεν ἀναδείξας αὐτὸν ἡγεμόνα τῆς Βόσνας ἔπεμψεν ἐκεῖ διὰ νὰ ἀντιμάχηται κατὰ τῶν ἐφόδων τῆς Γερμανίας, ἂν ἀκολουθήσουν ἐν τούτῳ τῷ διαστήματι ὁποῦ τανῦν ἔχει ὁ σουλτάνος ἐφόδους κατὰ τῆς Περσίας.

—

Ἔτει σωτηρίῳ 1629, τοῦ Χιτζρὲ 1039.

Αἱ οἰκιακαὶ ταραχαὶ καὶ ἐμφύλιοι πόλεμοι ἀφοῦ ἔπαυσαν ὁλοκλήρως, ὁ σουλτὰν Μουρὰτ τούτῳ τῷ ἔτει πέμπει τὸν αὐτὸν Χοσρὲβ-πασσᾶν διὰ νὰ ὑποτάξῃ τὸ ὑπὸ τοῖς Πέρσαις Βαγδάτι· ὅστις διαχειμάσας εἰς τὸ Μουσοῦλι προητοιμάσθη ἀποχρώντως ἐν πᾶσι, καὶ ἦρος φανέντος ἐφορμήσας λεηλατεῖ τὴν ἐπαρχίαν τῆς Περσίας Ἀρὰκ, κόπτει πᾶσαν κοινωνίαν καὶ δοσοληψίαν εἰς τὰς περὶ τὸ Βαγδάτι ἐπαρχίας, ὑποτάσσει ὀχυρώματα καὶ κατακρημνίζει ἃ οὐκ ἐξῆν διαφυλάξαι, καὶ μὲ τοιαύτας προετοιμασίας ἤρξατο τῆς τοῦ Βαγδατίου πολιορκίας, καὶ πολιορκήσας αὐτὸ σφοδρότατα ἡμέρας τεσσαράκοντα πρὸς τῇ μιᾷ, καὶ ἀπολέσας λαοῦ καὶ στρατιωτῶν πλεῖστον ὅσον, ἐβιάσθη καὶ ἄκων λῦσαι τὴν πολιορκίαν, διὰ νὰ μὴν ἀπολέσῃ καὶ ἄλλους ἢ σχεδὸν ὅλους.

—

Ἔτει σωτηρίῳ 1630, τοῦ Χιτζρὲ 1040.

Ἀκούσαντες οἱ Ῥῶσσοι τὰς τῶν ἰησουϊτῶν κατὰ τοῦ Λουκάρεως συκοφαντίας ἔπεμψαν πρὸς Θεοφάνην τῶν Ἱεροσολύμων πατριάρχην, διάγοντα τότε ἐν Γιασίῳ τῆς Μολδοβίας, ἐρωτῶντες εἰ ἀληθῆ ταῦτα οἱ ἰησουῖται φασί. Πρὸς οὓς ὁ Θεοφάνης, κεφάλαια 16 συνταξάμενος, ἀμέτοχον τὸν σοφώτατον Κύριλλον καὶ τὴν Ἀνατολικὴν ἐκκλησίαν τῆς τοιαύτης συκοφαντίας εἶναι ἀπέδειξεν.

Ἐν τῇ Ῥώμῃ οἱ καρδινάλιοι ἀθροισθέντες διετάξαντο κεχρῆσθαι τοῦ λοιποῦ πρὸς αὐτοὺς τῷ τίτλῳ τοῦ ῥεβερενδίσιμος καὶ ἐμινεντίσιμος, ἤτοι εὐλαβέστατος καὶ ἐξοχώτατος· καὶ ἐδεήθησαν τοῦ πάπα Οὐρβανοῦ Η' δι' οἰκείου θεσπίσματος ἀπαγορεῦσαι τὸ μηδένα τῶν ἄλλων ἐκκλησιαστικῶν τοῦ λοιποῦ διὰ τοιούτου τίτλου καλεῖσθαι, ἢ μόνον τοὺς ἐλέκτορας τῆς ῥωμαϊκῆς αὐτοκρατορίας, τὸν μάγιστρον τοῦ ἱεροσολυμικοῦ ὀσπιταλίου καὶ αὐτοὺς τοὺς καρδιναλίους.

—

Ἔτει σωτηρίῳ 1631, τοῦ Χιτζρὲ 1041.

Ὁ μετὰ τὴν ἔξωσιν τοῦ Ἀμπαζᾶ-πασσᾶ ἡγεμὼν εἰς τὸ Ἐρζοὺμ γενόμενος, Ἠλιὰς-πασσᾶς, ἀποστατεῖ κατὰ τοῦ σουλτὰν Μουρὰτ καὶ ἐξουσιάζει τὸ Ἐρζρούμ. Ἀλλ' ὁ Κιουτζοὺκ-Μεχμὲτ-πασσᾶς πεμφθεὶς καταπολεμεῖ αὐτὸν καὶ ζωγρήσας πέμπει σιδηροδέσμιον εἰς τὸν σουλτὰν Μουρὰτ, ὅστις κατατομεῖ αὐτὸν ἐν τῇ λεωφόρῳ τῆς Κωνσταντινουπόλεως.

Ἐπὶ τοῦ πατριάρχου Λουκάρεως προσηνέχθη τῇ Κωνσταντινουπόλει βιβλίον τυπωθὲν ἐν Γινέβρῃ, περιέχον κεφάλαια 18 καὶ τέσσαρας ἐρωτήσεις καλβινισμοῦ γεμούσας, οὗ ἡ ἐπιγραφὴ οὕτως εἶχε: Κύριλλος πατριάρχης Κωνσταντινουπόλεως, τοῖς ἐρωτῶσι καὶ πυνθανομένοις περὶ τῆς πίστεως καὶ θρησκείας τῆς τῶν Γραικῶν κτλ., ἃ πάντα Μελέτιος ὁ Συρίγου ἀνατρέπει ἐν ταῖς Ἀντιρρήσεσι ταῖς κατὰ τῶν καλβινικῶν κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως, τυπωθείσαις ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας, ἔτει 1700. Ὅρα Δοσίθ. ἐν τῷ περὶ τῶν ἐν Ἱεροσολ. πατρ. βιβλ. ιά. κεφ. ί. σελ. 1171.

Ἔτει σωτηρίῳ 1632, τοῦ Χιτζρὲ 1042.

Ὁ Ῥουστὲμ-χάνης, στρατηγὸς τῶν Περσῶν, ἐφορμήσας λῃΐζεται τὰς ἐπαρχίας τῶν Ὀθωμανῶν τὰς περὶ τὴν πόλιν Βάν· εἶτα πολιορκεῖ καὶ τὸ Βὰν σφοδρότατα, καὶ κατέστρεφεν ἂν αὐτὸ εἰ μὴ ἐλθὼν ὁ μπεϊλέρπεης τῆς Ῥούμελης δυνάμεσι τῆς Εὐρώπης ἔλυσε τὴν πολιορκίαν φυγαδεύσας τοὺς Πέρσας.

ΚΕΦ. ΚΔ'.

Πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερροίας, καὶ τρίτη πατριαρχεία τοῦ Λουκάρεως, καὶ πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου, καὶ τετάρτη πατριαρχεία τοῦ Λουκάρεως.

Κύριλλος ὁ ἀπὸ Βερροίας, φατριάσας μετά τινων ἀρχιερέων καὶ τοῦ Ἀμασείας Ζαχαρίου, ἔνδυμα περιβληθεὶς παρὰ τοῦ σουλτὰν Μουρὰτ, τῇ ς'

πόλεως τειχῶν οὕτως ἐφοβέρισε τοὺς κατοικητὰς καὶ τοὺς τοῦ Ἀμπαζᾶ στρατιώτας, ὥστε μετὰ τὴν πέμπτην ἡμέραν τῆς πολιορκίας ὑποταγῆναι ἐθελουσίως, καὶ τὸν Ἀμπαζᾶν ἑκουσίως παραδοθῆναι τῷ βεζίρῃ Χοσρὲβ-πασσᾷ, ὅστις σιδηροδέσμιον πέμπει αὐτὸν εἰς τὸν σουλτὰν Μουράτ. Ἀλλ' ὁ σουλτάνος ἀποβλέψας εἰς τὴν ἀνδρείαν καὶ ἀνδραγαθήματά του, λησμονεῖ τὴν προδοσίαν του, δὲν τὸν φονεύει ὡς ἀντάρτην καὶ τὸν συγχωρεῖ ὡς ἀνδρεῖον· καὶ ἐλέγξας αὐτὸν διὰ τὴν ἀνταρσίαν του εἶπεν αὐτῷ ὅτι θέλει τὴν ξεπλύνει μὲ τὰς κατὰ τῶν ἐχθρῶν τῆς βασιλείας νίκας· ὅθεν ἀναδείξας αὐτὸν ἡγεμόνα τῆς Βόσνας ἔπεμψεν ἐκεῖ διὰ νὰ ἀντιμάχηται κατὰ τῶν ἐφόδων τῆς Γερμανίας, ἂν ἀκολουθήσουν ἐν τούτῳ τῷ διαστήματι ὁποῦ τανῦν ἔχει ὁ σουλτάνος ἐφόδους κατὰ τῆς Περσίας.

—

Ἔτει σωτηρίῳ 1629, τοῦ Χιτζρὲ 1039.

Αἱ οἰκιακαὶ ταραχαὶ καὶ ἐμφύλιοι πόλεμοι ἀφοῦ ἔπαυσαν ὁλοκλήρως, ὁ σουλτὰν Μουρὰτ τούτῳ τῷ ἔτει πέμπει τὸν αὐτὸν Χοσρὲβ-πασσᾶν διὰ νὰ ὑποτάξῃ τὸ ὑπὸ τοῖς Πέρσαις Βαγδάτι· ὅστις διαχειμάσας εἰς τὸ Μουσοῦλι προητοιμάσθη ἀποχρώντως ἐν πᾶσι, καὶ ἧρος φανέντος ἐφορμήσας λεηλατεῖ τὴν ἐπαρχίαν τῆς Περσίας Ἀρὰκ, κόπτει πᾶσαν κοινωνίαν καὶ δοσοληψίαν εἰς τὰς περὶ τὸ Βαγδάτι ἐπαρχίας, ὑποτάσσει ὀχυρώματα καὶ κατακρημνίζει ἃ οὐκ ἐξῆν διαφυλάξαι, καὶ μὲ τοιαύτας προετοιμασίας ἤρξατο τῆς τοῦ Βαγδατίου πολιορκίας, καὶ πολιορκήσας αὐτὸ σφοδρότατα ἡμέρας τεσσαράκοντα πρὸς τῇ μιᾷ, καὶ ἀπολέσας λαοῦ καὶ στρατιωτῶν πλεῖστον ὅσον, ἐβιάσθη καὶ ἄκων λύσαι τὴν πολιορκίαν, διὰ νὰ μὴν ἀπολέσῃ καὶ ἄλλους ἢ σχεδὸν ὅλους.

—

Ἔτει σωτηρίῳ 1630, τοῦ Χιτζρὲ 1040.

Ἀκούσαντες οἱ Ῥῶσσοι τὰς τῶν ἰησουϊτῶν κατὰ τοῦ Λουκάρεως συκοφαντίας ἔπεμψαν πρὸς Θεοφάνην τῶν Ἱεροσολύμων πατριάρχην, διάγοντα τότε ἐν Γιασίῳ τῆς Μολδοβίας, ἐρωτῶντες εἰ ἀληθῆ ταῦτα οἱ ἰησουῖται φασί. Πρὸς οὓς ὁ Θεοφάνης, κεφάλαια 16 συνταξάμενος, ἀμέτοχον τὸν σοφώτατον Κύριλλον καὶ τὴν Ἀνατολικὴν ἐκκλησίαν τῆς τοιαύτης συκοφαντίας εἶναι ἀπέδειξεν.

Ἐν τῇ Ῥώμῃ οἱ καρδινάλιοι ἀθροισθέντες διετάξαντο κεχρῆσθαι τοῦ λοιποῦ πρὸς αὐτοὺς τῷ τίτλῳ τοῦ ῥεβερενδίσιμος καὶ ἐμινεντίσιμος, ἤτοι εὐλαβέστατος καὶ ἐξοχώτατος· καὶ ἐδεήθησαν τοῦ πάπα Οὐρβανοῦ Η' δι' οἰκείου θεσπίσματος ἀπαγορεῦσαι τὸ μηδένα τῶν ἄλλων ἐκκλησιαστικῶν τοῦ λοιποῦ διὰ τοιούτου τίτλου καλεῖσθαι, ἢ μόνον τοὺς ἐλέκτορας τῆς ῥωμαϊκῆς αὐτοκρατορίας, τὸν μάγιστρον τοῦ ἱεροσολυμικοῦ ὀσπιταλίου καὶ αὐτοὺς τοὺς καρδιναλίους.

—

—1632

Ἔτει σωτηρίῳ 1631, τοῦ Χιτζρὲ 1041.

Ὁ μετὰ τὴν ἔξωσιν τοῦ Ἀμπαζᾶ-πασσᾶ ἡγεμὼν εἰς τὸ Ἐρζοὺμ γενόμενος, Ἠλιὰς-πασσᾶς, ἀποστατεῖ κατὰ τοῦ σουλτὰν Μουρὰτ καὶ ἐξουσιάζει τὸ Ἐρζρούμ. Ἀλλ' ὁ Κιουτζοὺκ-Μεχμὲτ-πασσᾶς πεμφθεὶς καταπολεμεῖ αὐτὸν καὶ ζωγρήσας πέμπει σιδηροδέσμιον εἰς τὸν σουλτὰν Μουρὰτ, ὅστις κατατομεῖ αὐτὸν ἐν τῇ λεωφόρῳ τῆς Κωνσταντινουπόλεως.

Ἐπὶ τοῦ πατριάρχου Λουκάρεως προσηνέχθη τῇ Κωνσταντινουπόλει βιβλίον τυπωθὲν ἐν Γινέβρῃ, περιέχον κεφάλαια 18 καὶ τέσσαρας ἐρωτήσεις καλβινισμοῦ γεμούσας, οὗ ἡ ἐπιγραφὴ οὕτως εἶχε: Κύριλλος πατριάρχης Κωνσταντινουπόλεως, τοῖς ἐρωτῶσι καὶ πυνθανομένοις περὶ τῆς πίστεως καὶ θρησκείας τῆς τῶν Γραικῶν κτλ., ἃ πάντα Μελέτιος ὁ Συρίγου ἀνατρέπει ἐν ταῖς Ἀντιρρήσεσι ταῖς κατὰ τῶν καλβινικῶν κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως, τυπωθείσαις ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας, ἔτει 1700. Ὅρα Δοσίθ. ἐν τῷ περὶ τῶν ἐν Ἱεροσολ. πατρ. βιβλ. ιά. κεφ. ί. σελ. 1171.

—

Ἔτει σωτηρίῳ 1632, τοῦ Χιτζρὲ 1042.

Ὁ Ῥουστὲμ-χάνης, στρατηγὸς τῶν Περσῶν, ἐφορμ'ᾶτας λητζεται τὰς ἐπαρχίας τῶν Ὀθωμανῶν τὰς περὶ τὴν πόλιν Βάν· εἶτα πολιορκεῖ καὶ τὸ Βὰν σφοδρότατα, καὶ κατέστρεφεν ἂν αὐτὸ εἰ μὴ ἐλθὼν ὁ μπεϊλέρπεης τῆς Ῥούμελης δυνάμεσι τῆς Εὐρώπης ἔλυσε τὴν πολιορκίαν φυγαδεύσας τοὺς Πέρσας.

ΚΕΦ. ΚΔ'.

Πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερροίας, καὶ τρίτη πατριαρχεία τοῦ Λουκάρεως, καὶ πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου, καὶ τετάρτη πατριαρχεία τοῦ Λουκάρεως.

Κύριλλος ὁ ἀπὸ Βερροίας, φατριάσας μετά τινων ἀρχιερέων καὶ τοῦ Ἀμασείας Ζαχαρίου, ἔνδυμα περιβληθεὶς παρὰ τοῦ σουλτὰν Μουρὰτ, τῇ ς'

τοῦ Ὀκτωβρίου, πατριάρχης Κωνσταντινουπόλεως ἀνεκηρύχθη· ἀλλὰ κρυβεὶς ὁ Λούκαρις παρὰ τῷ πρέσβει φιαμέγκῳ ἐξορίζει καὶ τοὺς δύο τῇ ιά τοῦ αὐτοῦ μηνὸς εἰς τὴν νῆσον τῆς Τενέδου. Διὰ δὲ τὸν φόβον τῶν ὑπερασπιστῶν αὐτοῦ ἀθωωθεὶς τῆς καταδρομῆς εἰς Βέρροιαν τὴν αὐτοῦ ἐπαρχίαν ἐξεπέμφθη ὁ Κύριλλος, θανόντος τοῦ Ἀμασείας ἐν τῇ ἐξορίᾳ.

Τρίτη πατριαρχεία τοῦ Λουκάρεως.

Ἀνοίχθη οὖν πάλιν τὸ τρίτον εἰς τὸν Οἰκουμενικὸν θρόνον ὁ γνήσιος ποιμὴν Κύριλλος ὁ Λούκαρις. Τούτῳ τῷ ἔτει τὸ χρέος τοῦ πατριαρχείου πολλῷ πλεῖον ἦν τοῦ ἀνωτέρω προρρηθέντος.

—

Ἔτει σωτηρίῳ 1633, τοῦ Χιτζρὲ 1043.

Πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου.

Τῇ ἕκτῃ τοῦ Μαρτίου ἔνδυμα παρὰ τοῦ σουλτὰν-Μουρὰτ περιβληθεὶς Ἀθανάσιος ὁ Κρὴς ὁ ἐπονομαζόμενος Πατελάριος, μητροπολίτης Θεσσαλονίκης, διὰ τῆς ἐπικουρίας τοῦ καπετὰν-πασσᾶ τοὔνομα Τζαφὲρ, καὶ ἐξορίσας Κύριλλον τὸν Λούκαριν εἰς τὴν Τένεδον, ἐπέβη τοῦ πατριαρχικοῦ θρόνου· ἀλλὰ μετὰ ἡμέρας 40, κατὰ τὴν ἑβδομάδα τῶν Ἁγίων Παθῶν, ἐξορισθεὶς τῇ τῶν μητροπολιτῶν συνεργείᾳ, ἀπεπέμφθη εἰς τὴν ἰδίαν ἐπαρχίαν Θεσσαλονίκην.

Τετάρτη πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως.

Καὶ διὰ τῆς συνεργείας τῶν αὐτῶν μητροπολιτῶν ἐπανακάμψας τῆς ἐξορίας ἀποκατέστη τὸ τέταρτον εἰς τὸν ἴδιον θρόνον ὁ γνήσιος ποιμὴν αὐτοῦ, καὶ ἤδη γέρων, Κύριλλος ὁ Λούκαρις. Ὁ δὲ Πατελάριος εἰς τὴν Ἀγκῶνα τῆς Ἰταλίας ἀπῆλθε, διανοούμενος ἀπελθεῖν εἰς τὴν Ῥώμην· ὅθεν ἐκεῖθεν γράψας πρὸς τὸν τότε πάπαν Οὐρβανὸν τὸν Η', ἢ κατ' ἄλλους Κάλλιστον, πέμπει τὰ γράμματα διὰ Καλλίστου τοῦ Δρυϊνουπόλεως ἐπισκόπου· ἤτει δὲ διὰ τῶν γραμμάτων τὸ μετὰ τὸ παραγενέσθαι αὐτὸν εἰς τὴν Ῥώμην ἔχειν τὸν θρόνον τῆς Κωνσταντινουπόλεως. Ἀλλ' ὁ πάπας ἀπεκρίθη αὐτῷ τὸ, ἐὰν τῇ τῆς ῥωμαϊκῆς πίστεως ὁμολογίᾳ ὑπογράψῃ ἕξειν τὸν θρόνον τοῦ ἑβδομηκοστοῦ τρίτου καρδινάλιος· ὅθεν δυσχεράνας ὁ Πατελάριος ἀπῆλθεν εἰς τὴν Μολδοβλαχίαν.

Κύριλλος ὁ Λούκαρις τὸν Νικόδημον Μεταξᾶν ἀρχιεπίσκοπον Κεφαλληνίας καὶ Ζακύνθου χειροτονήσας, ἀπέσπασε τὰς νήσους ταύτας ἀπὸ τῆς Κορίνθου, ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ὑπ' ἐκείνῃ τελούσας. Ὅθεν παρανόμως τοῦτο κατετόλμησεν· εἰ δὲ εἴποι τις ὅτι βασιλεῖς καὶ πατριάρχαι ἐ-

σχύουσι τοιαῦτα ποιεῖν, ψεύδεται. Νικόλαος γὰρ ὁ Κωνσταντινουπόλεως ἔλεγεν Ἀλεξίῳ τῷ βασιλεῖ, ἐῤῥῶσθαι βασιλέως ἀντιγραφὴν ἐφ' οἷς οὐ βλάπτεται ἕτερος, οὐμὴν καὶ ἀεί. Ὅθεν τὸ Ῥίζαιον ἐπὶ Γερμανοῦ τοῦ ὁμολογητοῦ ἐγένετο ἀρχιεπισκοπή, ἀλλὰ μετὰ ἔτη 200, ἐπὶ Θεοφυλάκτου καὶ Ῥωμανοῦ, ἐδόθη Νικηφόρῳ τῷ Νεοκαισαρείας.

Ὁ αὐτὸς Κύριλλος ἀνενέωσε τὸ σιγγιλιῶδες γράμμα τῆς μονῆς τῆς Θεοτόκου, ἐπιλεγομένης τοῦ Φιλοσόφου, κειμένης ἐν τῇ Πελοποννήσῳ, ἣν ἀνήγειρεν ἐκ βάθρων Ἰωάννης ὁ Λαμπερδόπουλος, Πρωτασηκρήτης καὶ φιλόσοφος, καὶ ἐποίησεν αὐτὴν ὁ πατριάρχης Παλύευκτος σταυροπήγιον τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως.

Τὸ ἐν Γιασίῳ μοναστήριον Βορνόβσκη τούτῳ τῷ ἔτει ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ, τῇ ἐπιμελείᾳ τοῦ Κωνσταντινουπόλεως Κυρίλλου τοῦ Λουκάρεως. Διέτριψα κἀγὼ ἐν αὐτῷ μειράκιον ὢν καὶ παιδευόμενος τὰ ἐγκύκλια ὑπὸ τῷ ἐν πρεσβυτέροις διδασκάλῳ Ναθαναὴλ Χίῳ τῷ Καλλονάρῃ, ἀπὸ ἔτους 1724 μέχρις ἔτους 1727, καθ' ὃ ἐμαζηλεύθη ὁ ἡγεμὼν τῆς Μολδαβίας Μιχαὴλ Τζιχάνης ὁ Ῥακοβίτζας, καὶ ἐγένετο ἀπὸ Δραγομάνου Γρηγόριος ὁ Γκίκας, καὶ συναπῆλθε καὶ ὁ διδάσκαλος σὺν τῷ καθαιρεθέντι ἡγεμόνι· ἦν γὰρ διδάσκαλος τῶν τεσσάρων αὐτοῦ υἱῶν. Ἐγὼ δὲ ἔμεινα ἐν Γισσίῳ παρὰ τῷ συγγενεῖ Ἰωάννῃ Ἄγα τῷ Ὑψηλάντῃ, προσμένων τὸν μακαρίτην γεννήτορά μου Θεόδωρον, ἐλθεῖν μέλλοντα μετὰ τοῦ νέου ἡγεμόνος μὲ τὸ ὀφφίκιον τοῦ Καμαράση τῶν Ὀκνῶν.

Ἠγάπα δὲ Κύριλλος ὁ Λούκαρις τὸν Ἅγιον Τάφον εὐλαβούμενος σφόδρα· ὅθεν καὶ τῷ πατριάρχῃ τῆς Ἱερουσαλὴμ Θεοφάνει πολλὰ ἐβοήθησε καὶ τρόποις διαφόροις εἰς τὰς ἐνοχλήσεις καὶ πολέμους ὁποῦ εἶχε παρὰ τῶν Λατίνων.

Ὁ ῥηθεὶς Νικόδημος ὁ Μεταξᾶς μετὰ καὶ ἄλλων τινῶν ἔφεραν εἰς τὴν Κωνσταντινούπολιν τυπογραφίαν καὶ ἐτύπωσαν τὸ Σύνταγμα τοῦ Παλαμᾶ καὶ τοῦ Σχολαρίου, καὶ τὸν Διάλογον τοῦ Μαργουνίου Περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, καὶ Ἐπιστολὰς τοῦ Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, καὶ τὸ τοῦ μοναχοῦ Βαρλαὰμ Κατὰ τοῦ Καθαρτηρίου πυρός, καὶ τὸ τοῦ Φιλαδελφείας Γαβριὴλ Κατὰ τῶν πέντε Διαφορῶν. Ὅθεν οἱ ἐν τῷ Σταυροδρόμι παπισταὶ Φραντζέζοι ταῦτα ἰδόντες ἔδωκαν δῶρα πολλὰ καὶ πλῆθος χρημάτων πρὸς τοὺς κρατοῦντας ἐθνικοὺς, ἵνα ῥίψωσιν ἐν τῇ θαλάσσῃ τὴν τυπογραφίαν, ὃ καὶ ἐγένετο.

Ἀρμένιός τις πραγματευτὴς ἐλθὼν ἀπὸ τῶν ἀνατολικῶν Ἰνδιῶν εἶπε τῷ πατριάρχῃ τὸ ὅτι ἐν τῇ Ἰνδίᾳ εἰσὶ λαῶν πλήθη ἄπειρα ὁμοφωνοῦντα τῇ Ἀνατολικῇ ἐκκλησίᾳ καὶ παρενοχλούμενα ὑπὸ τῶν παπιστῶν· καὶ δέονται αὐτοῦ ἀποστεῖλαι σοφόν τινα ἄνδρα εἰς βοήθειαν αὐτῶν, ἵνα μὴ ὑπὸ τῶν παπιστῶν ἀπατῶνται. Ἀλλ' ὁ μὲν πατριάρχης, καίτοι Οἰκουμενικὸς, οὐκ ἠδυνήθη μεταχειρίσασθαι τὸν τίτλον ἐν οἷς αὐτὸν ἡ καθολικὴ ἐκκλησία ἐδέξατο, καὶ παρέβλεψε διὰ τὰς κατ' αὐτοῦ καταδρομὰς τῶν ἐπὶ τοῦ θρόνου ἐπιπηδῆσαι ἐφιεμένων· οἱ δὲ περὶ αὐτὸν ἀρχιερεῖς, συλλογιζόμενοι μόνον τὸ φατριάζειν πρὸς ἀλλαξοπατριαρχείαν, οὐκ εἶχον καιρὸν τὴν περὶ τούτου σκέψιν ποιήσασθαι. Ὅθεν καὶ ὁ πατριάρχης, τῷ Οἰκουμενικὸς ἐν μόναις

ταῖς καταδυναστείαις καὶ ἁρπαγαῖς χρώμενος, ἐφρόντιζε χρηματολογεῖν ἵνα ἔχῃ ἔξοδα μετὰ τὴν ὁσημέραι ἐπαπειλουμένην καὶ ὑποπτευομένην ἔξωσιν, ὡς καὶ πάντες οἱ μετ' αὐτὸν οὕτω ποιεῖν ἐσυνείθισαν, χρηματολογοῦντες διὰ τὸν ἐνδεχόμενον ἀπὸ τοῦ θρόνου καταβιβασμόν.

Ἐκστρατεύει κατὰ τῶν Λέχων ὁ σουλτὰν Μουρὰτ ὑπὸ στρατηγοῖς τῷ Μουρταζᾶ-πασσᾷ καὶ τῷ Ζαμπολὰδ-ζαδέ. Διέπλευσεν ὁ στρατὸς τὸν Δούναβιν εἰς τὸ Γίργοβον, πόλιν τῆς Οὐγγροβλαχίας, καὶ στρατοπεδεύσαντας ἐκεῖ ἔρχονται πρὸς αὐτοὺς οἱ πρέσβεις τῶν Λέχων ζητοῦντες τὴν εἰρήνην. Οἱ στρατηγοὶ πέμπουσιν αὐτοὺς πρὸς τὸν σουλτὰν Μουρὰτ, ὅστις εἰρηνοποιεῖ μετὰ τῆς Λεχίας ἐπὶ συμφωνίαις ἐπωφελέσι τῇ ἑαυτοῦ βασιλείᾳ.

Διὰ προγράμματος δίδει ἄδειαν ὁ σουλτὰν Μουρὰτ νὰ πωλῆται τὸ κρασὶ φανερῶς εἰς τὰ οἰνοπωλεῖα καὶ ἀκωλύτως, καὶ νὰ πίνῃ ὁ καθεὶς ὅσον θέλει· ἐμποδίζει τοὺς καχβενέδες, καὶ ἐπαιδεύοντο δεινῶς ἐκεῖνοι ὁποῦ ἤνοιγαν τοιαῦτα ἐργαστήρια.

—

Ἔτει σωτηρίῳ 1634, τοῦ Χιτζρὲ 1044.

Ὁ σουλτὰν Μουρὰτ ἐκστρατεύει αὐτοπροσώπως κατὰ τῆς Περσίας καὶ πορεύεται πρὸς τὸ Βαγδάτ. Καθ' ὁδὸν ἐφορμᾷ κατὰ τῆς πόλεως Ῥεβὰν, ἥντινα πρὸ μικροῦ εἶχον ὑποτάξει οἱ Πέρσαι· μετὰ ἡμερῶν ὀκτὼ πολιορκίαν ὑποτάσσεται ἡ πόλις ἑκουσίως τῷ σουλτὰν Μουρὰτ, ὅστις ἀφεὶς τοὺς ἐν αὐτῇ Πέρσας ἐλευθέρους κρατεῖ παρ' ἑαυτῷ μόνον τὸν ἡγεμόνα τοῦ Ῥεβὰν, Ἐμιργκιὲν-ὀγλοὺν, ὃν τινα πέμπει εἰς τὴν Πόλιν. Εἶτα διατρίβει ὁ σουλτὰν Μουρὰτ καιρόν τινα εἰς τὴν πόλιν Τέβρις, ἀνακαινίζων καὶ ὀχυρῶν τὰ περιξ ὀχυρώματα.

Τούτῳ τῷ ἔτει γίνεται αὐθέντης τῆς Μολδαβίας ὁ Βασίλειος βοεβόδας ὁ Ἀρβανίτης, καὶ ἡγεμονεύσας ἀρίστως μέχρι τοῦ ἔτους 1654 διώκεται ὑπὸ τοῦ ἀντάρτου Στεφάνου Γεωργίου, υἱοῦ τοῦ Δημητράσκου Λογοθέτου.

—

Ἔτει σωτηρίῳ 1635, τοῦ Χιτζρὲ 1045.

Ὁ σουλτὰν Μουρὰτ περὶ τὰ τέλη τοῦ Ὀκτωβρίου τοῦδε τοῦ ἔτους εἰσέρχεται εἰς τὴν Κωνσταντινούπολιν σὺν τῷ στρατῷ νικητής.

Ὁ αἰχμάλωτος Ἐμιργκιὲν-ὀγλοὺς διὰ τῆς εἰς τὴν μουσικὴν προκοπῆς του ἀποκτᾷ τὸ θάρρος καὶ τὴν εὔνοιαν τοῦ σουλτὰν Μουρὰτ, καὶ σύμβουλος αὐτοῦ ἐγένετο· καὶ ἐν τῷ εὐωχεῖσθαι καὶ οἰνοποτεῖν τὸν Μουρὰτ καθ' ἡμέραν παρῆν μόνος ὁ Ἐμιργκιὲν-ὀγλοὺς σὺν τῷ μπεκρῇ-Μουσταφᾷ· ἔκτισε δὲ ὁ Ἐμιργκιὲν ὀγλοὺς καὶ παλάτιον ἐν τῷ Βοσπόρῳ μέχρι τοῦδε σωζόμενον παρὰ τῷ Σωσθενείῳ, καὶ συνεχῶς ὁ σουλτὰν Μουρὰτ ἐρχόμενος συνευωχεῖτο καὶ συνέπινε τῷ Ἐμιργκιὲν-ὀγλού. Μιᾷ δὲ τῶν ἡμερῶν ὄντος ἐκεῖ τοῦ σουλτάνου ἔλαχε νὰ περάσῃ μὲ τὸ καΐκι Ῥωμαῖός τις τῶν εὐγενῶν, καὶ ἐτραγῴδει μπεστὲν εἰς γλῶσσαν περσικήν. Ἀκούσας τῆς φωνῆς ὁ Ἐμιγκιὲν-ὁ-

γλοὺς συγκαθήμενος τῷ βασιλεῖ, ἤνοιξε τὸ τζάμι διὰ νὰ ἀκούσῃ καλήτερα. Ὁ Ῥωμαῖος ἰδὼν αὐτὸν ἐσιώπησεν· ἀλλ' ὁ Ἐμιργκιὲν-ὀγλοὺς κατελθὼν εἰς τὸ περιγιάλι παρεκάλει αὐτὸν, ὁρκίζων ἐπ' ὀνόματι τοῦ θεοῦ καὶ τοῦ Ἰησοῦ Χριστοῦ, νὰ σταθῇ καὶ νὰ τελειώσῃ τὸν μπεστέν· οὗ γενομένου φιλοφρόνως ὑπεδέχθη αὐτὸν ὁ Ἐμιργκιὲν-ὀγλοὺς θαυμάζων τὴν εἰς τὴν μουσικὴν καὶ τὴν εἰς τὰ περσικὰ προκοπήν του, καὶ ἠρώτησεν αὐτὸν τίς ἂν εἴη· ἀκούσας δὲ αὐτὸν εἶναι Ῥωμαῖον ὑποχείριον τῷ σουλτὰν Μουρὰτ, χαρίσας αὐτῷ δῶρον ἀξιόλογον ἀπέπεμψεν· εἶτα εἰσελθὼν πρὸς τὸν σουλτὰν Μουρὰτ εἶπεν: «Οἱ ὑποχείριοί Σου Ῥωμαῖοι ἦσάν ποτε κύριοι αὐτῆς τῆς πόλεως, καὶ » αὐτὸς ὁποῦ τώρα εἶδον μὲ ἀπέδειξεν ὅτι νὰ ἦσαν ἄξιοι τῆς βασιλείας. » Οἱ ἱστοριοί μας ὁμολογοῦσι τὰς ἀρετὰς αὐτῶν, ἀλλ' ἐγὼ εἰς τόδε δὲν εἶ- » χον συνομιλήσει τινὶ αὐτῶν ὁποῦ νὰ μὲ φανῇ ἄξιος διὰ τὴν ὑπόληψιν καὶ » φήμην ὁποῦ εἶχαν ἀποκτήσει εἰς τοὺς παρελθόντας χρόνους· καὶ ἂν ὅλοι » ὁμοιάζουν μὲ αὐτὸν ὁποῦ κατὰ συμβεβηκὸς τώρα ἔλαχε νὰ ἰδῶ, ἀνάγκη » νὰ ὁμολογήσω τὸ ὅτι ἦσαν ἄξιοι νὰ βασιλεύουν τούτων τῶν ἐπαρχιῶν· » κατὰ δὲ τὴν μουσικὴν ὑπερτερῶν ἐγὼ πάντας τοὺς ὁμογενεῖς μου, ἤθελα » νομίσει εὐτυχῆ ἐμαυτὸν ἂν ἐγινόμην μαθητὴς αὐτοῦ τοῦ Ῥωμαίου. »

ΚΕΦ. ΚΕ'.

Δευτέρα πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου, καὶ δευτέρα πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερροίας, καὶ ἄλωσις τοῦ Βαγδατίου.

Ἐλθὼν ἀπὸ Μολδοβλαχίας ἐξαίφνης Ἀθανάσιος ὁ Πατελάριος πατριαρχεύει κατὰ μῆνα Μάρτιον, ἐξωσθέντος Κυρίλλου τοῦ Λουκάρεως καὶ εἰς τὴν Ῥόδον ἐξορισθέντος· κἀν τῇ ἑορτῇ τῶν Ἁγίων Ἀποστόλων ἑρμηνεύσας τὸ, Σὺ εἶ Πέτρος καὶ τὰ ἑξῆς, κατὰ τὴν γνώμην τῶν θεολόγων, ἐλάλησε κατὰ τῆς ἀρχῆς τοῦ πάπα. Ἀλλ' ἐπελάβετο αὐτοῦ Ἀθανάσιος ὁ Κύπριος, καὶ κατὰ τῆς διδαχῆς αὐτοῦ τυπώσας ἐξέδωκεν· ὅθεν ἀπήντησεν αὐτῷ ἐν

βιβλίῳ κατὰ τῆς ἀρχῆς τοῦ πάπα ἀγωνιστικῶς τε καὶ ἀποδεικτικῶς Νικόλαος Κεραμεὺς ὁ ἰατροφιλόσοφος.

—

Ἔτει σωτηρίῳ 1636, τοῦ Χιτζρὲ 1046.

Οἱ Πέρσαι ἐλθόντες πολιορκοῦσι τὸ Βάν. Ὁ ἡγεμὼν αὐτοῦ Ἀμπαζᾶ-πασσᾶς ὁ προρρηθεὶς προμάχεται τῆς πόλεως μάλα ἀνδρείως μῆνας τέσσαρας. Τούτου δὲ θανόντος ὑποτάσσουσιν οἱ Πέρσαι τὸ Βὰν καὶ φονεύουσιν ἀνηλεῶς πάντας τοὺς ἐν αὐτῷ μουσουλμάνους. Ταῦτα μαθὼν ὁ σουλτὰν Μουρὰτ καταβιβάζει τῆς ἀρχῆς τὸν Μεχμὲτ πασσᾶν ὡς μὴ πέμψαντα δυνάμεις πρὸς βοήθειαν τῆς πολιορκουμένης πόλεως, καὶ κάμνει βεζίρην τὸν Παϊρὰμ-πασσᾶν, καὶ ἐκστρατεύει αὐτοπροσώπως κατὰ τῆς πόλεως Βαγδάτι, προπέμψας τὸν βεζίρην, καὶ ἀφῆκε τὸν Ἰπραὴμ-πασσᾶν καϊμακάμην εἰς τὴν Πόλιν.

Δευτέρα πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερροίας.

Πατριαρχεύσας ἔτος ὁλόκληρον Ἀθανάσιος ὁ Πατελάριος ἐξοῦται, καὶ ἀνάγεται εἰς τὸν Οἰκουμενικὸν θρόνον, κατὰ μῆνα Μάρτιον, Κύριλλος ὁ ἀπὸ Βερροίας, διὰ τῆς ἐπικουρίας τοῦ ῥηθέντος καϊμακάμη Ἰπραὴμ-πασσᾶ.

—

Ἔτει σωτηρίῳ 1637, τοῦ Χιτζρὲ 1047.

Ὁ Παϊρὰμ-πασσᾶς ἐποίησε τζαμὶ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν τοῦ Προδρόμου, τὴν ἔσωθεν τῆς πύλης τῆς τοῦ Ἀδριανοῦ λεγομένης, ἥτις ἦν μονὴ μοναζουσῶν γυναικῶν.

Φθάσας εἰς τὸ Βαγδάτι ὁ σουλτὰν Μουρὰτ ἄρχεται τῆς πολιορκίας, θυμοῦ πεπληρωμένος καὶ ἐκδίκησιν κατὰ τῶν Περσῶν διαφόρως ζητῶν. Ὅθεν μηχαναὶ, τηλεβόλοι, ἑλέπολεις ἀλλεπαλλήλως καὶ ἀδιακόπως, νύκτωρ καὶ μεθ' ἡμέραν ἐνηργοῦντο. Δὲν ὡμοίαζε τὸ πρᾶγμα πολέμῳ ἀλλ' ἀληθεῖ τινι καὶ καθ' αὐτὸ κρεωκοπεῖῳ· ὁ σίδηρος καὶ τὸ πῦρ πανταχόθεν ἠφάνιζον τοὺς πολεμοῦντας, καὶ ἐπ' ἀλλήλους σωρηδὸν οἱ νεκροὶ κατέκειντο· ἔφοδοι εἰς τὰ τείχη ἐπὶ ἐφόδοις ἀδιακόπως ἐγίνοντο. Ὁ σουλτὰν Μουρὰτ, ξίφος ἔχων ἀνὰ χεῖρας, ἔκοπτε μόνος του ἐκείνους τῶν στρατιωτῶν του ὁποῦ ἀπὸ τὸν πόλεμον μικρόν τι ἀπεμακρύνοντο· ἐφόνευσεν ἰδιοχείρως καὶ τὸν βεζίρην Παϊρὰμ-πασσᾶν, μὲ τὸ νὰ τὸν εἶδεν ὄχι πολλὰ πρόθυμον εἰς τὸ νὰ προχωρῇ ὅπου ὁ κίνδυνος τῆς ζωῆς ἦτο προφανής. Τέλος ὑποτάσσει τὸ Βαγδάτι καὶ ἀνηλεῶς φονεύει 30 χιλ. Πέρσας τοὺς ἐν αὐτῷ πρὸ τῶν ἰδίων ὀφθαλμῶν, καίτοι ῥίψαντας τὰ ὅπλα καὶ προσκυνήσαντας αὐτὸν ἑκοντί. Ἐν αὐτοῖς ἦν Πέρσης τις μουσικὸς, ὅστις φονευθῆναι μέλλων παρεκάλεσε νὰ λαλήσῃ πρῶτον τῷ σουλτὰν Μουρὰτ παρόντι· ἀπελθὼν εἶπεν αὐτῷ ὅτι οὐ μέλει τῆς

ἰδίας ζωῆς ἀλλὰ τῆς ἣν ἐπίστατται μουσικῆς. Δὲν τὸν ἐφόνευσε, μὲ σκοπὸν ν' ἀκούσῃ τῆς φωνῆς του· ὅθεν τῇ ὑστεραίᾳ μεταπεμψάμενος αὐτὸν ἔδωκεν ἄδειαν νὰ δείξῃ τὴν ἐπιστήμην του. Λαβὼν οὖν ἐξάχορδον, ἄλλως τ α μ π ο ῦ ρ ι, (ἐξάχορδον γὰρ ἦν τότε τὸ τ α μ π ο ῦ ρ ι), οὕτως ἐξετραγῴδησε τὴν ἅλωσιν τοῦ Βαγδατίου καὶ τὴν νίκην τοῦ σουλτὰν Μουρὰτ ὑπερύψωσεν, ὥστε καὶ αὐτὸν τὸν σουλτὰν Μουρὰτ κλαῦσαι πικρῶς. Ὅθεν αὐτῷ μὲν ἐχάρισε τὴν ζωὴν, ἠλευθέρωσε δὲ καὶ τοὺς λοιποὺς αἰχμαλώτους Πέρσας, καὶ τὸν μουσικὸν αὐτὸν, τοὔνομα σὰχ-Κουλοῦ, ἐδεξιώθη, καὶ εἰς τὴν Κωνσταντινούπολιν μεθ' ἑαυτοῦ ἐκόμισε· δι' οὗ διεδόθη εἰς τὴν Τουρκίαν καὶ διεσπάρη τὰ μαθήματα τῆς μουσικῆς τέχνης. Τὸ ἐξάχορδον, ἄλλως ψαλτήριον, καὶ περσικῶς σὲ ς-δ ὰ ρ, εὑρέθη παρὰ τοῦ Δαβὶδ, καὶ τὴν σήμερον δὲν εὑρίσκεται τινας ὁποῦ νὰ τὸ παίζῃ καθὼς ἀπαιτεῖ βαθέως ἡ τέχνη.

Οὕτως οὖν ἐάλω τὸ Βαγδάτι, καὶ μετὰ τὴν ἅλωσιν τούτου οἱ Πέρσαι πλέον οὐδὲν κατὰ τῶν Τούρκων διαπράξασθαι ἠδυνήθησαν. Ἀνακαινίζει τὰ κρημνισθέντα μέρη τῶν τειχῶν τοῦ Βαγδατίου ὁ σουλτὰν Μουρὰτ, κάμνει βεζίρην τὸν Μουσταφᾶ-πασσᾶν, καὶ διορίσας αὐτῷ τὰ ποιητέα εἰς τὴν ἐπαρχίαν Ἀράκ, ἀπάρας τοῦ Βαγδατίου ἦλθε παραχειμάσων εἰς τὸ Διαρπεκίρ.

Ἔτει σωτηρίῳ 1638, τοῦ Χιτζρὲ 1048.

Πρὸ τοῦ ἀναφανῆναι τοίνυν τὸ ἔαρ ἀπάρας τοῦ Διαρπεκὶρ ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν ὁ σουλτὰν Μουρὰτ περὶ τὰ τέλη τοῦ Φεβρουαρίου.

Ἐξεδοτο νόμους κατὰ τῶν ἀρσενοκοιτῶν, βλασφήμων, καπήλων, ἐμπόρων καὶ τῶν λαμβανόντων πολλὰς γυναῖκας, καὶ ἤγειρε πόλεμον καὶ κατὰ τῶν Δαλματῶν.

ΚΕΦ. ΚΣΤ'.

» αὐτοῦ ἱερότητος καὶ ὑπὸ τῶν μετ' αὐτὸν ἐν τῇ ἐπαρχίᾳ ταύτῃ ἀρχιερα-
» τευσόντων.»

« Τούτου χάριν γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς
» μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων ἀρχιερέων καὶ Ὑπερτίμων, τῶν ἐν Ἁ-
» γίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ἐν
» τῇ ῥηθείσῃ νήσῳ Πρώτῃ διατελοῦν ἱερὸν μοναστήριον τῆς Μεταμορφώ-
» σεως τοῦ Σωτῆρος Χριστοῦ, τῇ ἐπωνυμίᾳ τῆς πατριαρχικῆς καὶ σταυρο-
» πηγιακῆς ἀξίας πρότερον σεμνυνόμενον, μετὰ πάντων τῶν ἀφιερωμάτων
» καὶ πραγμάτων αὐτοῦ κινητῶν τε καὶ ἀκινήτων καὶ συμπάσης τῆς πε-
» ριοχῆς τῆς αὐτῆς νήσου, μένῃ τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα
» αἰῶνα ἀναποσπάστως καὶ ἀναφαιρέτως συνημμένον τε καὶ συνηνωμένον
» καὶ προσηλωμένον καὶ προσκεκληρωμένον καὶ ὑποκείμενον τῇ ἁγιωτάτῃ
» μητροπόλει Χαλκηδόνος, καὶ ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γι-
» νώσκηται ἀφιέρωμά τε καὶ κτῆμα ἴδιον καὶ ἑνοριακὸν τῆς αὐτῆς μητρο-
» πόλεως δίκαιον, ὡς γνήσιον αὐτῆς μέλος καὶ μέρος πρὸς τὸ ὅλον ἀναφε-
» ρόμενον καὶ ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν καὶ χρῆσιν καὶ πνευματι-
» κὴν προστασίαν καὶ ἐπίσκεψιν τοῦ τε ἤδη ἐν τῇ ἐπαρχίᾳ ταύτῃ ἀρχιερα-
» τεύοντος συναδελφοῦ ἡμῶν Κὺρ Γαβριὴλ καὶ τῶν μετ' αὐτὸν ἀλληλοδια-
» δόχως ἐν αὐτῇ ἀρχιερατευσόντων εὑρισκόμενον, διεξαγόμενόν τε καὶ κυ-
» βερνώμενον, κρινόμενόν τε καὶ ἀνακρινόμενον ὑπὸ τοῦ κατὰ καιροὺς μη-
» τροπολίτου Χαλκηδόνος, εὐλογοῦντός τε καὶ ἁγιάζοντος ἀρχιερατικῶς
» πάντας τοὺς ἐνασκουμένους αὐτῷ πατέρας καὶ πάντα τὰ ἀρχιερατικὰ καὶ
» τὰς ἐμπιπτούσας αὐτῷ χειροτονίας ἐκτελοῦντος ἀκωλύτως μετὰ τῆς τοῦ
» ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καθὼς καὶ ἐν πάσῃ τῇ ἐπαρχίᾳ αὐτοῦ, ὁ-
» φείλοντός τε φροντίζειν ἀεὶ τῆς συστάσεως καὶ αὐξήσεως καὶ βελτιώσεως
» τοῦ αὐτοῦ μοναστηρίου, κρίνειν τε καὶ ἀνακρίνειν νομίμως καὶ κανονικῶς
» πᾶσαν μοναστηριακὴν ὑπόθεσιν καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθι-

» στᾷν, καὶ μοναχοὺς κείρειν, ἐκβάλλειν τε καὶ βάλλειν, καὶ ἀποκαθιστᾷν
» ἐν αὐτῷ ἡγούμενον τίμιον καὶ ἄξιον καὶ δόκιμον καὶ ἁρμόδιον, θεοσεβῆ τε
» καὶ εὐλαβῆ ἄνδρα, καὶ τοὺς λογαριασμοὺς αὐτοῦ θεωρεῖν μετ' ἀκριβοῦς
» ἐρεύνης τε καὶ ἐξετάσεως, καὶ παιδεύειν ἐκκλησιαστικῶς πάντα ἄτακτον
» καὶ ἐναντίον καὶ ἀπειθῆ πρὸς αὐτὸν φαινόμενον ἱερωμένον καὶ ἰδιώτην,
» καὶ τ' ἄλλα πάντα ἐνεργεῖν ὅσα ἀρχιερεῦσιν ἀνήκει· ὀφειλόντων καὶ πάν-
» των τῶν ἐν τῷ ἱερῷ τούτῳ μοναστηρίῳ συνασκουμένων Ὁσιωτάτων πα-
» τέρων μόνον τὸν κατὰ καιροὺς μητροπολίτην Χαλκηδόνος γινώσκειν νό-
» μιμον καὶ κανονικὸν καὶ γνήσιον αὐτῶν ποιμένα καὶ πνευματικὸν πατέρα,
» δεσπότην τε καὶ ἐξουσιαστὴν καὶ προστάτην καὶ κηδεμόνα καὶ φροντι-
» στὴν τῆς ἀγαθῆς αὐτῶν καὶ εὐκαταστάτου καταστάσεως, καὶ κατὰ πάν-
» τα καιρὸν ἀπονέμειν τὴν ὀφειλομένην καὶ προσήκουσαν τῇ ἀρχιερατικῇ
» αὐτοῦ ἀξίᾳ τιμὴν καὶ ἀγάπην καὶ εὐλάβειαν καὶ δεξίωσιν, καὶ ὑπείκειν
» καὶ ὑποτάσσεσθαι αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον, καὶ μνημονεύειν τοῦ
» κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις,
» ὡς νενόμισται, καὶ κατ' οὐδὲν αὐτῷ ἀντιφέρεσθαι καὶ ἐναντιοῦσθαι ἀτά-
» κτως ἀλλ' ὑπακούειν ἀείποτε πάσαις ταῖς πατρικαῖς καὶ πνευματικαῖς
» αὐτοῦ εἰσηγήσεσι καὶ νουθεσίαις καὶ παραγγελίαις ὡς εὐπειθῆ καὶ γνή-
» σια αὐτοῦ πνευματικὰ τέκνα, καὶ ὡς οἷόν τε φροντίζειν τῆς συστάσεως,
» αὐξήσεώς τε καὶ βελτιώσεως τοῦ ἱεροῦ αὐτῶν μοναστηρίου, διάγειν τε
» καὶ πολιτεύεσθαι σωφρόνως καὶ εὐτάκτως, καὶ κατὰ τὸ ἐπάγγελμα τῆς
» μοναδικῆς πολιτείας θεῷ τε καὶ ἀνθρώποις εὐαρεστοῦντας ἑαυτοὺς ἀπο-
» καθιστᾷν.»

« Ὅστις δ' ἄν ποτε τῶν πάντων φανῇ ἐναντίος καὶ ἀπειθὴς καὶ ἀνυπό-
» τακτος τῇ ἐκκλησιαστικῇ ἡμῶν ταύτῃ εὐλογοφανεῖ καὶ δικαίᾳ ἐπιταγῇ
» καὶ ἀποφάσει, καὶ τολμήσει οἱῳδήτινι τρόπῳ ἀνατρέψαι τε καὶ ἀθετῆ-
» σαι ἢ ὅλως διασεῖσαί τι τῶν ἐν τῷ παρόντι εὐλόγως καὶ σὺν τῷ δικαίῳ
» διοριζομένων τε καὶ ἀποφαινομένων, ἢ ἀποσπᾶσαι καὶ ἀφαιρέσαι τῆς αὐ-
» τῆς μητροπόλεως Χαλκηδόνος τὸ ἱερὸν τοῦτο μοναστήριον, ὁ τοιοῦτος,
» ὁποίας ποτ' ἂν εἴη τάξεώς τε καὶ καταστάσεως καὶ βαθμοῦ, ἀφωρισμένος
» εἴη παρὰ τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου καὶ ὁμοουσίου μακαρίας Τριά-
» δος, τοῦ ἑνὸς καὶ μόνου τῇ φύσει ἁγίου θεοῦ ἡμῶν, καὶ κατηραμένος καὶ
» ἀσυγχώρητος ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ μετὰ θάνατον
» ἄλυτος καὶ τυμπανιαῖος· κληρονομήσειε τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν
» ἀγχόνην τοῦ Ἰούδα· ἡ ὀργὴ τοῦ θεοῦ εἴη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἡ
» μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ τῶν θεομάχων Ἰουδαίων τῶν
» σταυρωσάντων τὸν Κύριον τῆς δόξης· καὶ προκοπὴν οὐ μὴ ἴδοι πώποτε
» ἐφ' οἷς ἐργάζεται καθ' ὅλην τὴν ζωὴν αὐτοῦ· σεισθείη ἡ γῆ καὶ καταπίοι
» αὐτόν, ὡς τὸν Δαθάν ποτε καὶ Ἀβειρών, καὶ ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη
» τὸ μνημόσυνον αὐτοῦ ἀπὸ προσώπου τῆς γῆς καὶ τὸ ὄνομα ἐκ βίβλου ζών-
» των, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς
» τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ καὶ μόνιμον ἀσφάλειαν ἐγένετο καὶ
» τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν βεβαιωτικὸν σιγγιλλιῶδες ἐν

» μεμβράναις γράμμα, καὶ ἐδόθη τῷ ῥηθέντι Ἱερωτάτῳ μητροπολίτῃ Χαλ-
» κηδόνος καὶ συναδελφῷ ἡμῶν ἀγαπητῷ Κὺρ Γαβριὴλ, καταστρωθὲν κάν
» τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἔ-
» τει σωτηρίῳ ᾳψμς', κατὰ μῆνα Μάϊον, Ἐπινεμήσεως ἐννάτης. »

« Παΐσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης,
» καὶ Οἰκουμενικὸς πατριάρχης. »

« ·ι) Ἐφέσου Ἰωακείμ· ὁ Ἡρακλείας Γεράσιμος· ὁ Νικομηδείας Κύριλλος·
» ὁ Νικαίας Καλλίνικος· ὁ Ἀδριανουπόλεως Διονύσιος· ὁ Νεοκαισαρείας Διο-
» νύσιος· ὁ Βερροίας Σαμουὴλ· ὁ Πισσιδείας Κοσμᾶς· ὁ Παλαιῶν Πατρῶν
» Γεράσιμος· ὁ Φιλιππουπόλεως Θεόκλητος· ὁ Μιτυλήνης Ἄνθιμος· ὁ Δι-
» δυμοτείχου Αὐξέντιος· ὁ Νέων Πατρῶν Νεόφυτος· ὁ Χριστιανουπόλεως
» Δανιὴλ· ὁ Ναυπλίου Νεόφυτος· ὁ Προϊλάβου Καλλίνικος· ὁ Ξάνθης Μη-
» τροφάνης· ὁ Χίου Διονύσιος· ὁ Λήμνου Παρθένιος· ὁ Δέρκων Σαμουὴλ· ὁ
» Σαντορίνης Διονύσιος. »

Μετὰ τοσαύτας ἀρὰς καὶ ἀφορισμοὺς ὁ ἀφιερώσας Γαβριὴλ ἐπώλησε τὸ μοναστήριον σὺν τῇ νήσῳ Πρώτῃ πρὸς τὸν ἀπὸ Πεκίου Ἰωαννίκιον Καρατζᾶν, τὸν καὶ ὕστερον πατριαρχεύσαντα Κωνσταντινουπόλεως· δὲν ὑπεγράφη μὲ τὸ νὰ εἶχε σκοπὸν νὰ τὸ ἀποσπάσῃ τῆς ἐπαρχίας εἰς ἄλλου πατριάρχου καιρὸν, καὶ μόνον ὑποκρινόμενος ἀρετὴν πρὸς ἀπάτην τῶν πλειόνων εἶπε πῶς τὸ ἀφιερώνει τῇ ἐπαρχίᾳ τῆς Χαλκηδόνος. Ὁ δὲ ἀγοράσας μὲ τὴν ἀγορὰν δοκεῖ μοι ὅτι ἐφάνη ἀπειθής τε καὶ ἀνυπότακτος τῇ ἐκκλησιαστικῇ ἀποφάσει, καὶ ἠθέτησε καὶ διέσεισε τὰ ἀποφανθέντα καὶ ἀφείλετο τὸ μοναστήριον τῆς μητροπόλεως Χαλκηδόνος· καὶ μετὰ παρέλευσιν καιροῦ τὸ ἐπώλησε τῷ αὐθέντῃ Βλαχίας Ἀλεξάνδρῳ Ἰωάννου Ὑψηλάντῃ βοεβόδᾳ, ὡς δηλοποιεῖται ἐκ τοῦ παρόντος σιγγιλλιώδους πατριαρχικοῦ συνοδικοῦ γράμματος.

« Πάντα τὰ γεραρὰ καὶ ἀξιάγαστα καὶ ὅσα πρόχειρον ἔχουσι καὶ οὐ ῥη-
» ματικὴν ἀλλ' οἷον εἰπεῖν ζῶσαν καὶ πραγματικὴν τὴν ἀπόδειξιν τῆς ἀγα-
» θῆς προαιρέσεως καὶ τοῦ θείου ζήλου, γνωστὰ γεγονότα τῇ ἐκκλησίᾳ καὶ
» τοῖς κατὰ καιροὺς ἐμπεπιστευμένοις τοὺς πνευματικοὺς ταύτης οἴακας,
» ἐπικυροῦν οὐκ ἀπαναίνονται οἱ ταύτης προστάται ἐπὶ τὸ ἔχειν τὸ κῦρος
» καὶ τὴν ἰσχὺν ἀπαράτρεπτον ἐν παντὶ καιρῷ καὶ χρόνῳ καὶ μὴ ὑφίστα-
» σθαι ταῦτα ἀνατροπὴν παρὰ τοῦ τυχόντος εὐκόλως, μάλιστα δὲ ὅσα εἰς
» σύστασιν ἀφορῶσιν ἐκκλησιῶν καὶ μοναστηρίων, ὧν τὴν μέριμναν ἔχει ἡ
» ἐκκλησία ὡς κοινὴ μήτηρ καὶ προστάτις καὶ κηδεμὼν, φροντίζουσα ἀγρύ-
» πνως περὶ τῆς καλῆς αὐτῶν καταστάσεως καὶ τρόποις διαφόροις πραγ-
» ματευομένη τὴν τούτων αὔξησιν καὶ τὴν εἰς τὰ πρόσω φορὰν καὶ βελ-
» τίωσιν· πρὸ πάντων δὲ τῶν ἐπιδεῶς ἐχόντων καὶ κίνδυνον ἐπαπειλούν-
» των παντελοῦς ἐρημώσεως, τῶν γὰρ τοιούτων μετὰ γενναιοτέρας τινὸς ἐ-
» πιμελείας ἡ ἐκκλησία ἀντιλαμβάνεται, ἵνα μὴ τοῦ καιροῦ μακρᾷ παριπ-

» πεύσει καὶ παρατάσει ἀμελήθέντα φθάσωσι περιπεσεῖν εἰς τραγικήν τινα,
» ὡς εἰπεῖν, καὶ ὀλεθρίων κατάστασιν καὶ εἰς τὸ παντελῶς ἀθεράπευτον.»

« Ἐπειδὴ τοιγαροῦν καὶ τὸ ἐν τῇ ἐπαρχίᾳ Χαλκηδόνος ἐν τῇ νήσῳ Πρώ-
» τῃ κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον τῆς ἐνδόξου Μεταμορφώσεως
» τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὑπάρχον σταυροπηγιακὸν πρὸ χρόνων καὶ
» εἰς ἀθλίαν κατάστασιν περιπεσὸν καὶ εἰς χρέος βαρύτατον, ἐπετράπη καὶ
» ἐδόθη τὸ αὐτὸ μοναστήριον εἰς τὴν διοίκησιν χρησίμων τινῶν Χίων πραγ-
» ματευτῶν, ὑφ' ὧν καὶ ἀνεκαινίσθη καὶ ἀνηγέρθη ἐρείπιον ὂν τὸ τότε, εἶτα
» δὲ πατριαρχικῇ ἀδείᾳ τοῦ ἀοιδίμου πατριάρχου Κὺρ Παϊσίου συνηνώθη
» καὶ προσηλώθη τῇ ἱερᾷ μονῇ τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου τῆς Πανα-
» χράντου ἐπικεκλημένῃ καὶ κειμένῃ κατὰ τὴν νῆσον Ἄνδρον, διὰ δόσεως
» γροσίων δύο χιλιάδων καὶ πεντακοσίων δοθέντων τε καὶ πληρωθέντων
» πρὸς τοὺς αὐτοὺς Χίους ἀπὸ μοναστηριακῶν χρημάτων τῆς Παναχράντου
» διὰ χειρὸς τοῦ Παναχραντιώτου ποτὲ Διονυσίου Προηγουμένου· ἀλλ' οὖν
» αὖθις περιπεσὸν χρέεσι, περίπου τὰς τρεῖς χιλιάδας δηλονότι καὶ διακό-
» σια γρόσια, δυσχερῶς πως εἶχεν εἰς τὸ διακυβερνᾶσθαι καὶ διασώζεσθαι·
» οἱ δὲ πατέρες τῆς ἐν τῇ Ἄνδρῳ μονῆς τῆς Παναχράντου, μὴ δυνάμενοι
» ἄλλοθέν ποθεν ἀπαντῆσαι καὶ πληρῶσαι τὸ ἐπικείμενον αὐτοῖς μοναστη-
» ριακὸν προειρημένον χρέος διὰ τὴν ἄκραν αὐτῶν ἔνδειαν καὶ ἀπορίαν, κοι-
» νῇ αὐτῶν γνώμῃ καὶ συναινέσει ἀποκατέστησαν ἐκ μέρους αὐτῶν ἐπιτρό-
» πους διὰ γραμμάτων τόν τε Προηγούμενον Δανιὴλ, τὸν Σκευοφύλακα Ἰά-
» κωβον, τὸν ἕτερον Προηγούμενον Δανιὴλ καὶ τὸν ῥηθέντα Προηγούμενον
» κὺρ Διονύσιον, καὶ ἐξαποστείλαντες αὐτοὺς ἐνταῦθα ἐν Κωνσταντινουπό-
» λει δεδώκασιν αὐτοῖς ἄδειαν καὶ πληρεξουσιότητα ἐγγράφως ἐπὶ τὸ κυ-
» βερνῆσαί τε καὶ διορθῶσαι τὸ κοινὸν μοναστηριακὸν αὐτῶν χρέος τοῦτο
» διὰ τῆς ἑτέρᾳ τινὶ κρείττονι καὶ ὑπερεχούσῃ δυνάμει τελείας ἐγχειρίσεώς
» παραδόσεώς τε προσηλώσεως καὶ προσκληρώσεως τοῦ εἰρημένου μονα-
» στηρίου τοῦ Σωτῆρος καὶ μετοχίου τῆς αὐτῆς μονῆς τῆς Παναχράντου,
» οἵτινες ἐλθόντες ἐνταῦθα προσέδραμον τῇ προνοίᾳ καὶ δεφενδεύσει τῆς
» Ἐκκλησίας καὶ ἐδεήθησαν δοθῆναι αὐτοῖς τὴν τοιαύτην ἄδειαν· ἧς τινος
» χορηγηθείσης αὐτοῖς ἐπαφῆκαν καὶ παραδεδώκασι καὶ ἐνεχείρισαν τότε
» ἐπιτροπικῶς οἱ τέσσαρες οὗτοι ἐπίτροποι τὸ εἰρημένον μοναστήριον τοῦ
» Σωτῆρος, ὡς κτῆμα καὶ μετόχιον τῆς μονῆς αὐτῶν τῆς Παναχράντου ὑ-
» πάρξαν, μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ κινητῶν
» τε καὶ ἀκινήτων καὶ μετὰ συμπάσης τῆς περιοχῆς, ἐμπεριοχῆς καὶ παρ-
» αλίου περιφερείας τῆς αὐτῆς νήσου Πρώτης πρὸς τὸν μακαρίτην μητρο-
» πολίτην Χαλκηδόνος Γαβριὴλ, διὰ τὸ ἀναδεχθῆναι ἐκεῖνον καὶ πληρῶσαι
» καὶ ἐξοφλῆσαι τότε τέλεον ἅπαν τὸ ἐπικείμενον ἐκείνοις μοναστηριακὸν
» χρέος, συμποσωθὲν εἰς γρόσια τὸν ἀριθμὸν τρεῖς χιλιάδας καὶ διακόσια
» πεντήκοντα, καὶ ἀπέστησαν καὶ ἐξ ὁλοκλήρου ἀπεμακρύνθησαν τῆς ἐξου-
» σίας καὶ δεσποτείας τοῦ αὐτοῦ μοναστηρίου τῆς Μεταμορφώσεως τοῦ Σω-
» τῆρος Χριστοῦ διὰ τῆς τελείας ἀπαλλαγῆς καὶ ἐλευθερίας τῆς ἐνοχῆς τοῦ
» οὗ περ ἦσαν ἐνεχόμενοι μοναστηριακοῦ αὐτῶν χρέους τούτου, καθὰ μετε-

» ξὺ ἑκατέρων τῶν μερῶν συνεφωνήθη, καὶ οὕτως ἐγένετο κτῆμα ἴδιον τοῦ
» μακαρίτου ἐκείνου μητροπολίτου Χαλκηδόνος Γαβριὴλ· εἶτα δὲ ὁ αὐτὸς
» Κὺρ Γαβριὴλ, ἰδίᾳ βουλῇ καὶ ἀδιάστῳ γνώμῃ καὶ προαιρέσει, μετὰ τὸ
» γενέσθαι κύριος τοῦ αὐτοῦ μοναστηρίου, διὰ πατριαρχικῆς προτροπῆς καὶ
» ἀδείας ἀφιέρωσε καὶ συνῆψε καὶ συνήνωσε, προσήλωσέ τε καὶ προσεκλη-
» ρώσατο παρὰ πόδας σύμπαν τὸ ἱερὸν τοῦτο μοναστήριον τοῦ Σωτῆρος τῇ
» ἁγιωτάτῃ μητροπόλει Χαλκηδόνος ὑπὲρ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας καὶ
» καὶ μνημοσύνου, καὶ ἔκτοτε ἐγένετο καὶ ἀποκατέστη διὰ πατριαρχικοῦ
» συνοδικοῦ σιγγιλλίου γράμματος αὐτὸ τοῦτο τὸ μοναστήριον τοῦ Σωτῆ-
» ρος ἐνοριακὸν εἰς τὴν μητρόπολιν Χαλκηδόνος ἀναφαίρετον καὶ ἀναπόσπα-
» στον, κατὰ τὴν περίληψιν τοῦ συνοδικοῦ σιγγιλλίου γράμματος καὶ τὴν
» τότε γεγονυῖαν ἐκκλησιαστικὴν καὶ συνοδικὴν ἀπόφασιν· εἶτα δὲ μετατε-
» θεὶς ὁ αὐτὸς Γαβριὴλ εἰς τὴν μητρόπολιν Νικομηδείας ἐπώλησε τὸ αὐτὸ
» ἐνοριακὸν μοναστήριον τοῦ Σωτῆρος μετὰ πάντων τῶν κτημάτων αὐτοῦ
» καὶ τῆς περιοχῆς τε καὶ ἐμπεριοχῆς καὶ παραλίου περιφερείας τῆς αὐτῆς
» νήσου Πρώτης πρὸς τὰν ἀναδεξάμενον τότε τὴν ἐπαρχίαν Χαλκηδόνος
» Παναγιώτατον πατριάρχην πρώην Κωνσταντινουπόλεως Κύριον Κύριον
» Ἰωαννίκιον, τὸν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλει-
» τουργὸν, κατὰ τὰ εἰς χεῖρας τῆς Αὐτοῦ Παναγιότητος τῆς τελείας πω-
» λήσεως γράμματα, ἅπερ καὶ ἐνεφανίσθησαν ἡμῖν· ἔκτοτε γοῦν μέχρι τοῦ-
» δε τὸ αὐτὸ ἐνοριακὸν μοναστήριον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ κατὰ
» τὴν νῆσον Πρώτην ὑπῆρχεν ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν τῆς Αὐτοῦ
» Παναγιότητος μετὰ πάντων τῶν προσόντων αὐτῷ κτημάτων καὶ ἀφιε-
» ρωμάτων τῶν τε κινητῶν καὶ τῶν ἀκινήτων καὶ μετὰ τῆς ὁλοκλήρου πε-
» ριοχῆς τε καὶ ἐμπεριοχῆς καὶ παραλίου περιφερείας τῆς αὐτῆς νήσου Πρώ-
» της· ἀλλ' οὖν ἤδη πάλιν ταῖς ὁμοίαις περιπεσὸν περιπετείαις καὶ εἰς ἀ-
» θλίαν καταντῆσαν κατάστασιν ἐκινδύνευε φθάσαι εἰς τὸ παντελῶς ἀθε-
» ράπευτον· ὅθεν ἡ Παναγιότης Αὐτοῦ προορῶσα τὸν οὐκ ἐπαιωρούμενον
» ἀλλ' ἤδη παρόντα καὶ πρὸ ὀφθαλμῶν ὄντα κίνδυνον τῆς ἐρημώσεως τοῦ
» αὐτοῦ μοναστηρίου, οἰκειοθελῶς καὶ ἀδιάστως ἐτώλησεν αὐτὸ πράσει τε-
» λείᾳ μετὰ πάντων τῶν προσόντων αὐτῷ κτημάτων καὶ ἀφιερωμάτων,
» κινητῶν τε καὶ ἀκινήτων καὶ μετὰ πάσης τῆς περιοχῆς τε καὶ ἐμπεριο-
» χῆς καὶ παραλίου περιφερείας τῆς αὐτῆς νήσου πρὸς τὸν τιμιώτατον ἄρ-
» χοντα Πιτάρην κυρίτζη Διαμαντῆν τοῦ Γεωργάκη, διὰ χοτζετίου τῆς βα-
» σιλικῆς κρίσεως καὶ δι' ἀδείας τοῦ κατὰ τόπον ἀρχιερέως Ἱερωτάτου μη-
» τροπολίτου Χαλκηδόνος Κὺρ Παρθενίου, καὶ ἔλαβεν ἐπὶ χεῖρας μετρητὰ
» παρ' αὐτοῦ γρόσια τὸν ἀριθμὸν δύο χιλιάδας πεντακόσια, καὶ ἑπομένως
» ὡμολόγησεν ὡς οὐκ ἔχει τοῦ λοιποῦ μετοχήν τινα ἐν τῷ αὐτῷ ἐνοριακῷ
» μοναστηρίῳ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, οὔτε ἐν τοῖς κτήμασι καὶ πράγ-
» μασι καὶ ἀφιερώμασιν αὐτοῦ οὔτε ἐν τῇ περιοχῇ τε καὶ ἐμπεριοχῇ καὶ
» πάσῃ τῇ παραλίῳ περιφερείᾳ τῆς αὐτῆς νήσου Πρώτης, ἀλλ' ὑπάρχει κτῆ-
» μα καὶ πρᾶγμα τοῦ αὐτοῦ ἄρχοντος Πιτάρη Κὺρ Διαμαντῆ.»

« Ὅστις ἀγοράσας αὐτὸ, ὡς εἴρηται, καὶ κύριος τούτου γεγονὼς διὰ τῆς

» δόσεως τῶν δύο χιλιάδων καὶ πεντακοσίων γροσίων, ὡς εἴρηται, στοχα-
» ζόμενος δὲ ὅτι οὐ δύναται ἐξοικονομῆσαι τὰ κατ' αὐτό, ἠβουλήθη αὐτο-
» προαιρέτως καὶ ἀβιάστως, δι' ἀδείας πάλιν τοῦ κατὰ τόπον ἀρχιερέως,
» πωλῆσαι αὐτὸ μείζονί τινι καὶ ὑπερέχοντι προσώπῳ καὶ ὑποκειμένῳ. Καὶ
» δὴ εὑρὼν τὸν θεοσεβέστατον καὶ Ὑψηλότατον αὐθέντην καὶ ἡγεμόνα πά-
» σης Οὐγγροβλαχίας Κύριον Κύριον Ἰωάννην Ἀλέξανδρον Ἰωάννου Ὑψη-
» λάντην βοεβόδα, ζῆλον ἔνθεον τῷ ἀγαθῷ θησαυρῷ τῆς χριστιανικωτάτης
» Αὐτοῦ ψυχῆς διατρέφοντα περὶ τὰ τοιαῦτα ἱερὰ καταγώγια καὶ θεῖα σκη-
» νώματα, ἐπώλησεν αὐτὸ πράσει τελείᾳ πρὸς τὴν Αὐτοῦ Ὑψηλότητα με-
» τὰ πάντων τῶν προσόντων αὐτῷ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν
» τε καὶ ἀκινήτων καὶ μετὰ πάσης τῆς περιοχῆς, ἐμπεριοχῆς τε καὶ πα-
» ραλίου περιφερείας τῆς αὐτῆς νήσου Πρώτης, διὰ γρόσια τὸν ἀριθμὸν δύο
» χιλιάδας ἑπτακόσια πεντήκοντα, συναινέσει τοῦ κατὰ τόπον ἀρχιερέως·
» ἅτινα καὶ λαβὼν καὶ πληρωθεὶς ἐπὶ χεῖρας μετρητὰ παρὰ τῆς Αὐτοῦ θεο-
» σεβεστάτης Ὑψηλότητος, ὡμολόγησεν ἰδίῳ αὐτοῦ στόματι ὡς οὐκ ἔχει
» τοῦ λοιποῦ μετοχήν τινα καὶ ἐξουσίαν ἐν τῷ ῥηθέντι ἑνοριακῷ μοναστη-
» ρίῳ τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τῷ κειμένῳ ἐν τῇ
» νήσῳ Πρώτῃ, οὔτε ἐν τοῖς κτήμασι καὶ πράγμασιν αὐτοῦ καὶ ἀφιερώ-
» μασι κινητοῖς τε καὶ ἀκινήτοις οὔτε ἐν τῇ περιοχῇ, ἐμπεριοχῇ τε καὶ
» παραλίῳ περιφερείᾳ τῆς αὐτῆς νήσου Πρώτης, ἀλλ' ὑπάρχει κτῆμα καὶ
» πρᾶγμα ἀναφαίρετον καὶ ἀναπόσπαστον τῆς Αὐτοῦ Ὑψηλότητος κατὰ
» πάντα καιρὸν καὶ χρόνον, κατὰ τὴν περίληψιν τῶν γεγονότων γραμμά-
» των τῆς βασιλικῆς κρίσεως καὶ περὶ τῆς πωλήσεως ταύτης καὶ περὶ τοῦ
» μεσρουτιὲτ οὐζρὲ τεβλιετίου εἴς τε τὴν Αὐτοῦ Ὑψηλότητα
» καὶ ἐφεξῆς εἰς τὸ ἐρσέκι τῶν διαδόχων Του εἰς αἰῶνα τὸν ἅπαντα. Ὅπερ
» μοναστήριον, μετὰ πάντων τῶν κτημάτων, πραγμάτων τε καὶ ἀφιερωμά-
» των αὐτοῦ τῶν τε κινητῶν καὶ τῶν ἀκινήτων καὶ μετὰ τῆς περιοχῆς
» καὶ παραλίου περιφερείας τῆς αὐτῆς νήσου Πρώτης, κτῆμα ἴδιον καὶ πρᾶγ-
» μα γεγονὸς τὸ ἀπὸ τοῦδε καὶ ὑπάρχον τῆς Αὐτοῦ θεοσεβεστάτης Ὑψη-
» λότητος, ἔχει μεταβαίνειν καὶ ἐπὶ τοῦς ἐκλάμπρους υἱοὺς καὶ κληρονό-
» μους Αὐτοῦ μέχρις ἐσχάτης γενεᾶς, μηδενὸς τῶν ἁπάντων ἔχοντος ἐξου-
» σίαν τινὰ καὶ κυριότητα καὶ δεσποτείαν ἐν τῷ αὐτῷ μοναστηρίῳ τοῦ
» Σωτῆρος ἡμῶν, οὔτε τοῦ κατὰ τόπον ἀρχιερέως, οὔτε ἄλλου τινὸς προ-
» σώπου ἱερωμένου ἢ λαϊκοῦ, οὔτε ἐν αὐτῷ οὔτε ἐν τοῖς κτήνεσι καὶ πράγ-
» μασι καὶ ἀφιερώμασιν αὐτοῦ κινητοῖς τε καὶ ἀκινήτοις οὔτε ἐν τῇ περιο-
» χῇ τε καὶ ἐμπεριοχῇ καὶ παραλίῳ περιφερείᾳ τῆς αὐτῆς νήσου παντά-
» πασι· κτήματα γὰρ ταῦτα γεγόνασιν ἰδιόκτητα καὶ παγανικὰ ἀναφαί-
» ρετα καὶ ἀναπόσπαστα ἕως ἐφ' ὅρου ζωῆς Αὐτοῦ, ἅπερ καὶ μετὰ θάνατον
» Αὐτοῦ ἔχουσι μεταβαίνειν ἀλληλοδιαδόχως ὡς κληρονομικὰ δίκαια εἰς
» τοὺς ἐκλάμπρους υἱοὺς καὶ λοιποὺς συγγενεῖς καὶ κληρονόμους Αὐτοῦ μέχ-
» ρι τῆς εὐλογημένης ἐσχάτης Αὐτοῦ γενεᾶς. Ὅθεν γράφοντες συνοδικῶς
» μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων ἀρχιερέων κτλ. ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ
» σεβάσμιον ἑνοριακὸν μοναστήριον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ κατὰ

» τὴν νῆσον Πρώτην σὺν πᾶσι τοῖς προσοῦσιν αὐτῷ πράγμασι καὶ κτήμασ
» καὶ ἀφιερώμασι κινητοῖς τε καὶ ἀκινήτοις, τοῖς τε ἤδη οὖσι καὶ τοῖς με-
» τέπειτα ἀφιερωθησομένοις, ὑπάρχωσι καὶ μένωσι τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν
» ἑξῆς ἅπαντα χρόνον κτήματα καὶ πράγματα ἰδιόκτητα καὶ παγανικὰ ἀ-
» ναφαίρετα καὶ ἀναπόσπαστα τῆς Αὐτοῦ εὐσεβεστάτης Ὑψηλότητος ἐφ' ὅ-
» ρου ζωῆς Αὐτοῦ, μεταβαίνοντα καὶ εἰς τοὺς ἐκλάμπρους υἱοὺς καὶ λοι-
» ποὺς συγγενεῖς καὶ κληρονόμους Αὐτοῦ, μηδενὸς τῶν ἁπάντων δυναμένου
» ἀντιποιηθῆναι τούτων τρόπῳ οἱῳδήτινι. Ὀφείλουσι δ' ὅμως οἱ ἐν αὐτῷ
» πατέρες μνημονεύειν τοῦ κανονικοῦ ὀνόματος τοῦ κατὰ τόπον ἀρχιερέως
» ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις ἕνεκα τοῦ σεμνοπρεποῦς
» καὶ συνήθους, ἐκτελουμένων καὶ τῶν ἐμπιπτουσῶν χειροτονιῶν ὑπὸ τοῦ
» κατὰ τόπον ἀρχιερέως, προσκλήσει αὐθεντικῇ τῆς Αὐτοῦ εὐσεβεστάτης
» Ὑψηλότητος, μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς ἐνοριακὴν
» ὑπειληφότος τάξιν τοῦ ἱεροῦ τούτου μοναστηρίου. Ἡ δὲ θεοσεβεστάτη
» Ὑψηλότης Αὐτοῦ ἔχει αὐθεντικῶς ἀποκαθιστᾷν, ἐκβάλλειν τε καὶ βάλ-
» λειν ἐν αὐτῷ ἡγουμένους κατὰ τὴν χρείαν καὶ τοὺς λογαριασμοὺς αὐ-
» τῶν θεωρεῖν, ὁμοίως δὲ καὶ μετέπειτα οἱ υἱοὶ καὶ συγγενεῖς καὶ κληρονό-
» μοι Αὐτοῦ κατὰ τὸν αὐτὸν τρόπον ἔχουσι ποιεῖν, μηδενὸς τῶν πάντων
» ἀντιλέγοντος ἢ ἀνθισταμένου τὸ σύνολον. Οἵ τε συνασκούμενοι πατέρες
» ὀφείλουσι διάγειν μοναδικῶς καὶ ἡσύχως, σεμνοπρεπῶς τε καὶ τιμίως
» κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, πειθόμενοι καὶ ὑποτασ-
» σόμενοι καὶ τῇ Αὐτοῦ Ὑψηλότητι ὡς κυρίῳ καὶ ἐξουσιαστῇ τοῦ αὐτοῦ
» μοναστηρίου, καὶ τῷ παρὰ τῆς Αὐτοῦ Ὑψηλότητος διορισθέντι καὶ ἀπο-
» καταστάντι ἡγουμένῳ, οὐδόλως ἀντιφερόμενοι οὐδ' ἀτάκτως ἐναντιούμενοι
» αὐτῷ, ἀλλὰ γινώσκοντες αὐτὸν κηδεμόνα καὶ φροντιστὴν τῆς ἀγαθῆς καὶ
» εὐκαταστάτου αὐτῶν καταστάσεως ὑπείκωσιν αὐτῷ κατὰ τὸ πρέπον
» καὶ δίκαιον, παιδευομένων παρ' αὐτοῦ τῶν ἀτακτούντων καὶ ἀπειθῶν, ἀ-
» δείᾳ τῆς Αὐτοῦ Ὑψηλότητος καὶ τῶν κληρονόμων Αὐτοῦ. Ἔκ τε τῶν
» εἰσοδημάτων οἱ συνασκούμενοι αὐτοὶ πατέρες ἔχουσιν ἐξοδεύειν τὰ διο-
» ρισθησόμενα ἀναγκαῖα ἔξοδα παρὰ τῆς Αὐτοῦ Ὑψηλότητος πρὸς τροφὴν
» αὐτῶν, τὰ δὲ περιττεύοντα μένειν τοῖς διαδόχοις Αὐτοῦ πρὸς οὓς ἔχει δια-
» βαίνειν τὸ τεβλιέτι, μὴ ὑποκειμένων τῶν μεσουτιὲ τοῦζρὲ κα-
» τὰ καιροὺς μουτεβελήδων ἐκ τῶν διαδόχων Αὐτοῦ διδόναι τινὶ
» προσώπῳ λογαριασμόν. »

« Δῴη δὲ Κύριος ὁ θεὸς τῇ Αὐτοῦ Ὑψηλότητι ἕνεκα τούτου τοῦ ἀ-
» γαθοῦ καὶ τῶν ἄλλων θεοσεβῶν Αὐτοῦ ἔργων καὶ κατορθωμάτων ὑγείαν
» πανευφρόσυνον, εὐδαιμονίαν ἀμετάπτωτον καὶ πάνθ' ὅσα περ ἄλλα θυ-
» μήρη καὶ σωτηριώδη αἰτήματα. »

« Τῆς γοῦν ἐπικυρώσεως καὶ τελείας ταύτης πράσεως καὶ πωλήσεως
» πρὸς τὴν Αὐτοῦ Ὑψηλότητα καὶ τῆς ἀποκτήσεως τοῦ ἱεροῦ τούτου μο-
» ναστηρίου καὶ τῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ μετὰ τῆς περιο-
» χῆς τε καὶ ἐμπεριοχῆς καὶ πάσης τῆς παραλίου περιφερείας τῆς αὐτῆς
» νήσου Πρώτης τὸ κῦρος ἀπαράτρεπτον ὀφείλειν ἐχούσης καὶ ἀμεταθέτου

» πάντως οὔσης εἰς αἰῶνα τὸν ἅπαντα, ὅστις ποτὲ τῶν ἁπάντων, ἱερώμε-
» νος ἢ λαϊκὸς, φανῇ ἐναντίος καὶ ἀπειθὴς καὶ ἀνυπότακτος τῇ ἐκκλησια-
» στικῇ ἡμῶν ταύτῃ εὐλογοφανεῖ καὶ δικαίᾳ ἐπιταγῇ καὶ ἀποφάσει, ἐπι-
» σφραγίσει τε καὶ ἐπικυρώσει, καὶ τολμήσει τρόπῳ οἱῳδήτινι ἀνατρέψαι
» τε καὶ ἀθετῆσαι ἢ ὅλως διασεῖσαί τι τῶν ἐν τῷ παρόντι εὐλόγως καὶ
» σὺν τῷ δικαίῳ διοριζομένων τε καὶ ἀποφαινομένων, ἢ ἀποσπᾶσαι ἢ ἀ-
» φαιρέσαι (ὅπερ ἀδύνατον) ἀπὸ τῆς αὐθεντικῆς Αὐτοῦ ἐξουσίας τὸ ἱερὸν
» τοῦτο μοναστήριον, ἢ ἀντιποιηθῆναι τῶν κτημάτων τε καὶ πραγμάτων
» καὶ ἀφιερωμάτων αὐτοῦ καὶ τῆς περιφερείας τῆς παραλίου, περιοχῆς τε
» καὶ ἐμπεριοχῆς τῆς αὐτῆς νήσου Πρώτης, ὁ τοιοῦτος, ὁποίας ποτ' ἂν εἴη
» τάξεώς τε καὶ καταστάσεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ τῆς τρι-
» συποστάτου καὶ ἀδιαιρέτου καὶ ὁμοουσίου μακαρίας Τριάδος, τοῦ ἑνὸς
» καὶ μόνου τῇ φύσει ἁγίου θεοῦ ἡμῶν, καὶ κατηραμένος καὶ ἀσυγχώρητος
» ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ μετὰ θάνατον ἄλυτος καὶ
» τυμπανιαῖος· κληρονομήσειε τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ
» Ἰούδα,» καὶ τὰ ἑξῆς . . .

Ὑπεγράφη ὁ Κωνστατινουπόλεως πατριάρχης Σωφρόνιος καὶ οἱ ἐνδημοῦντες ἅπαντες ἀρχιερεῖς.

—

Ἔτει σωτηρίῳ 1779.

Τούτῳ τῷ ἔτει, Ἰουνίου ιζ', ἀνεχώρησα ἀπὸ τὴν Πόλιν διὰ τὸ Βουκουρέστι μὲ τὸ νὰ μὲ ἐζήτησεν ἐκεῖ ὁ ἡγεμονεύων αὐθέντης Ἀλέξανδρος Ὑψηλάντης βοεβόδας.

Θνήσκει ὁ Ἐφέσου Μελέτιος καὶ μετατίθεται εἰς τὴν Ἔφεσον ὁ Φιλιππουπόλεως Σαμουὴλ, ἀνεψιὸς τοῦ ἀοιδίμου Οἰκουμενικοῦ πατριάρχου Σαμουὴλ· προβιβάζει δὲ εἰς τὴν μητρόπολιν τῆς Φιλιππουπόλεως μοναρχικῷ τῷ τρόπῳ ἀλλ' οὐχ ἱεραρχικῷ, παρὰ γνώμην δηλαδὴ καὶ πατριάρχου καὶ τῆς συνόδου, ὁ Νικομηδείας Μελέτιος τὸν διάκονόν του Κύριλλον.

Θνήσκει ὁ Ἄρτης, καὶ πάλιν παρὰ γνώμην πατριαρχικήν τε καὶ συνοδικὴν, μεσολαβοῦντος τοῦ Μιχαὴλ Ποστελνίκου Σούτζου, καπικεχαγιᾶ τῆς οὐγγροβλαχικῆς ἡγεμονίας τοῦ Ὑψηλάντου βοεβόδα, καὶ συγκατανεύοντος μόνου καὶ μόνου τοῦ Νικομηδείας Μελετίου, προβιβάζεται εἰς τὸν ἀρχιερατικὸν θρόνον τῆς Ἄρτης ὁ ἀρχιδιάκονος τοῦ πατριάρχου Μακάριος, δυσάρεστος τὰ μέγιστα τῷ πατριάρχῃ κὺρ Σωφρονίῳ διὰ τὰ ἤθη του, τὰ ὁποῖα ὑπέφερεν ἀκουσίως διὰ φιλοπροσωπίαν ἢ μᾶλλον εἰπεῖν φόβον τοῦ ῥηθέντος Μιχαὴλ Σούτζου. Ἔκαμε δὲ ὁ Νικομηδείας Μελέτιος τῷ συνήθει του δεσποτιμῷ καὶ ἀρχιδιάκονον πατριάρχου ἀντ' ἐκείνου τὸν διάκονόν του Καλλίνικον, Μουδανιώτην τὴν πατρίδα.

Ἔγινε μ α λ ι κ ι α ν ὲ ς ἡ Μιτυλήνη μὲ τὸν αὐτὸν τρόπον ὁποῦ ἔγιναν τὰ γιουμπρούκια· ἕνας χ ι σὲ ς, ἤτοι μερτικὸν, ὁποῦ ἔχει πέντε πουγγείων εἰσόδημα ἀγοράζεται ἀπὸ τὸν ἀγοραστὴν μὲ 25 πουγγεῖα, λόγῳ μ ο υ α τ ζ ε λ ὲ, νὰ γίνῃ μ α λ ι κ ι α ν έ ς τ ο υ· θέλει πληρώνει κατ' ἔτος καὶ μι-

ρὶ αὐτὸς ὁ χισὲς ὅσον εἶναι ἀνάλογον διὰ τὸ εἰσόδημα τῶν πέντε πουγγείων· εἰς πέντε χρόνους λοιπὸν ἐβγάζει τὰ 25 πουγγεῖα ὁποῦ ἐπλήρωσεν ἔξω ἀπὸ τὰ μιρία τῶν πέντε χρόνων, καὶ εἰς τὸ λοιπὸν τῆς ζωῆς του κερδαίνει πλέον κάθε χρόνον πέντε πουγγεῖα, πληρώνωντας καὶ τὸ μιρὶ ἀπὸ αὐτὸ τὸ κέρδος τῶν πέντε πουγγείων.

Πραγματευθέντων μεταξὺ Ῥούσσων καὶ Ὀθωμανῶν τῶν περὶ ἐμπορίας κεφαλαίων καὶ τῆς τελείας παραδόσεως τῆς Ταυρικῆς Χερσονήσου εἰς τὴν πληρεξουσιότητα τῆς ῥουσσικῆς βασιλείας εἰς τὸ Ἀϊναλὶ-Καβάκι ἐγράφη περὶ τούτων ἀχτιναμὲς τούτῳ τῷ ἔτει ἐνόρκως, ὡς σύνηθες, μὲ ὑπογραφὰς τοῦ σουλτὰν Ἀπτοὺλ-Χαμίτη, μουφτῆ, καζασκέρηδων χάλια καὶ σάπικα, Ἰσταμπὸλ-ἐφενδισὴ χάλια καὶ σάπικα, βεζίρη, καπετὰν-πασσᾶ, ῥετζάληδων τῆς Πόρτας, γιαννιτζὰρ-ἀγασὴ καὶ τῶν λοιπῶν πάντων ὀτζὰκ-ἀγαλαρί.

Τούτῳ τῷ ἔτει ἀνήγειρεν ἐκ βάθρων ὁ αὐθέντης Ἀλέξανδρος Ὑψηλάντης εἰς τὸ Ἀφουμάτζι κιόσκι τουβλοτιτανόκτιστον ἔχον τζεσμὲν μὲ τρεχάμενον νερὸν, καὶ ἐφύτευσε καὶ λειμῶνα ἔμπροσθεν τοῦ κιοσκίου μὲ πολλὰ καρποφόρα δένδρα.

Εἰς τὸ Τζουλέστι, τόπον ὡραιότατον, ἀπέχον τοῦ Βουκουρεστίου διάστημα μιᾶς καὶ ἡμισείας ὥρας καὶ τοῦ Γιουργκιόβου ὥρας ἕνδεκα, δι' οὗ ἀνάγκη διελθεῖν καὶ τοὺς εἰς τὸ Γιούργκιοβον ἀπερχομένους, (ἀλλάξας μὲ ἄλλην αὐθεντικήν του μωσίαν ἀγορασθεῖσαν πράσει τελείᾳ, καὶ γνώμῃ καὶ θελήσει τοῦ ποτε γνησίου κυριάρχου, τὴν μωσίαν τοῦ κατὰ τὸ Βουκουρέστι Ἁγιοταφιτικοῦ μοναστηρίου τοῦ Ἁγίου Γεωργίου,) μωσίαν μεγάλην καὶ μὲ γῆν καλλιεργημένην καὶ σιτοφόρον καὶ μὲ χελεσταῖον πολλὰ μεγάλον, ἐκαθάρισεν ὁλοτελῶς τὸ χελεσταῖον γέμον καλάμων, μὲ σκοπὸν νὰ κτίσῃ ἐκεῖ αὐθεντικὸν μεγάλον μοναστήριον μὲ αὐθεντικὰ σπίτια, μὲ καμπαναρεῖον, μὲ κελλία διὰ τοὺς καλογήρους, μὲ ἡγουμενεῖον, μὲ πίμνιτζαν, μὲ μαγειρεῖον, τραπεζαρεῖον, ἀρτοποιεῖον, φοῦρνον, ἱπποστάσιον, ἀμαξεῖον καὶ τὰ λοιπὰ πάντα τὰ συνειθιζόμενα εἰς τὰ μεγάλα μοναστήρια καὶ νὰ ἀφιερώσῃ εἰς αὐτὸ τὰς μωσίας του, τὰς ἀμπέλους του, τοὺς μύλους του, τὸ εἰς τὴν Ζίμνιτζαν πανδοχεῖον του, βόας, μελίσσας, χοίρους, ἵππους καὶ πρόβατά του καὶ χελεσταῖά του.

Ὡσαύτως ἠγόρασε καταντικρὺ τοῦ αὐτοῦ ῥηθέντος μοναστηρίου τοῦ Ἁγίου Γεωργίου ἱκανὰ σπίτια καὶ εὐρύχωρα μὲ τὰς αὐλὰς καὶ περιοχάς των, διὰ νὰ ἀνεγείρῃ ἐκ βάθρων ἐκεῖ πανδοχεῖον μέγα μὲ πολλοὺς ὀνδᾶδες καὶ μαγαζεῖα, τρίπατον. Ἤρξατο τῆς οἰκοδομῆς, καὶ ἐκτίσθη . . . . . .

Ἔστειλε δὲ ὁ αὐθέντης Ἀλέξανδρος Ὑψηλάντης ἀπὸ Βλαχίας, τῷ ἔτει 1779, ἱκανὸν κερεστὲν, προστάξας νὰ οἰκοδομηθοῦν τὰ ἐν τῷ μοναστηρίῳ τῆς Παναγίας τῷ κατὰ τὴν Χάλκην οἰκοδομήματα, πτῶσιν ἐπαπειλοῦντα τὰ πλείονα. Ἀλλ' ὁ Κωνσταντῖνος Ἄγας καὶ ὁ σαράφης τοῦ ζαρπχανὲ Πετράκης καὶ ὁ σαράφης Ἀρμένης Κουλελόγλους Ἀπράμης, ἀπατήσαντες τὴν φύσει δειλὴν καὶ ὕποπτον μητέρα του, λέγοντες τὸ ὅτι διλενδιρδίζεται παρὰ Τούρκοις ὁ αὐθέντης μὲ τὴν ἐπισκευὴν καὶ οἰκοδομὴν τοῦ μοναστηρίου,

οὐκ ἀφῆκαν τὴν ξυλοφόρον νῆα ἀπελθεῖν εἰς τὴν νῆσον τῆς Χάλκης, ἀλλ' ἐκβαλόντες τὸν ἐν αὐτῇ κερεστὲν εἰς τὰ Θεραπεῖα ἔκτισαν μὲ αὐτὸν τὰ τρία τους σπίτια, ὡς ὁρῶνται τὴν σήμερον, ὑπερμεγέθη. Ἀλλ' οὐκ ἀπώναντο τῆς ἱεροσυλίας οἱ ἄνθρωποι. Ὁ μὲν γὰρ Ἅγας Κωνσταντῖνος, ὁ καὶ υἱὸς τοῦ καρβουνοπώλου Βαρτάνου τοῦ ἐκ φυλῆς ἀρμενικῆς καταγομένου, ὁ καὶ τοῦ ὀφφικίου αὐτοῦ διὰ συνδρομῆς καὶ ἐπιμελείας τοῦ αὐθέντου Ὑψηλάντου ἀξιωθεὶς, καὶ πλεῖστα κερδήσας δι' αὐτοῦ καὶ πρὸ καὶ ἐπὶ τῆς κατὰ τὴν Βλαχίαν ἡγεμονείας αὐτοῦ, αἰφνιδίῳ θανάτῳ τὸ ζῆν ἐξεμέτρησεν. Ὁ δὲ Κουλελόγλους, πλεῖστα καὐτὸς κερδήσας ἐπὶ τῆς αὐτῆς ἡγεμονείας, τὸν παρὰ τῶν κρατούντων φόβον ἐκδειματούμενος, πωλήσας τὸν οἶκον εἰς ὑπερπόντιον πόλιν τῆς Ἰταλίας τὴν Πίζαν μετώκησεν. Ὁ δὲ Πετράκης, πλεῖστα καὐτὸς κερδήσας ἐπὶ τῆς αὐτῆς ἡγεμονείας, ὀργῇ βασιλικῇ ὑποπεσὼν καὶ καρατομηθεὶς ἀπώλετο σὺν πᾶσι τοῖς λοιποῖς αὐτοῦ κτήμασι καὶ τῷ ἐν Θεραπείοις πολυδαπάνῳ οἴκῳ.

Τὰ ἐν τῷδε τῷ ἔτει ἐξοδιασθέντα δι' ἐπιστασίας μου εἰς τὸ μοναστήριον αὐτὸ τὸ αὐθεντικόν.

γρ.	παρ.	
876	30	Εἰς πληρωμὴν χρέους παλαιοῦ τοῦ μοναστηρίου.
4036	27	Εἰς τὴν οἰκοδομὴν τοῦ κατὰ τὸν Γαλατᾶν πακάλικου τῆς Παναγίας.
4913	17	
1498	2	Εἰς τὰ ἔξοδα δύο χρόνων 1777 καὶ 1778 τοῦ τε μοναστηρίου τῆς Παναγίας καὶ τοῦ κατὰ τὴν Πρώτην, νῆσον τῆς Προποντίδος, μοναστηρίου αὐθεντικοῦ τῆς Μεταμορφώσεως.
6411	19	

—

Ἔτει σωτηρίῳ 1780.

Θνήσκει ὁ Ἀδριανουπόλεως Νικηφόρος ὁ Σμυρναῖος, καὶ μὲ τὸ μέσον τοῦ ῥηθέντος Ποστελνίκου Μιχαὴλ Σούτζου παίρνει ὁρισμὸν τοῦ βεζίρη Οὐκιοὺζ-Μεχμὲτ-πασσᾶ ὁ Νικομηδείας Μελέτιος διὰ νὰ προβιβασθῇ εἰς τὴν μητρόπολιν τῆς Ἀδριανουπόλεως ὁ ποτὲ διάκονός του καὶ τανῦν ἀρχιδιάκονος τοῦ πατριάρχου Καλλίνικος ὁ Μουδανιώτης. Προβάλλει οὖν τολμηρῶς τὸν προβιβασμόν του ὁ Μελέτιος· δὲν τὸ ἐδέχθη οὔτε ὁ πατριάρχης οὔτε ἡ σύνοδος κατ' οὐδένα τρόπον· ἀλλ' αὐτὸς ἀντειπὼν τῷ πατριάρχῃ τὸ, «μὴν τὸν κάμῃς ἂν ἠμπορῇς,» καὶ ἀντιστὰς πατριάρχῃ τε καὶ συνόδῳ, ἐσυμπέραναν πλέον ὅτι ἔχει ὁρισμὸν περὶ τούτου, καὶ ὅτι λῃστρικῶς τε καὶ ἐπιβατικῶς ἔχει ἀπόφασιν νὰ κινηθῇ· ἔδειξε καὶ τὸν ὁρισμὸν εἰς μερικούς. Ὅθεν καὶ ἄκοντες καὶ δυσχεραίνοντες καὶ ἀγανακτοῦντες ἔκαμαν Ἀδριανουπόλεως τὸν Καλλίνικον αὐτὸν, ἄνδρα εὐήθη καὶ ἀμαθῆ καὶ εἰς πάντα ἀνάξιον.

Ἐξοῦται ὁ βεζίρης Μεχμὲτ-πασσᾶς καὶ γίνεται βεζίρης ὁ Καρᾶ-σιλιχτάρης Σεχὶτ-Μεχμὲτ-πασσᾶς, Αὐγούστου τῇ ιέ.

Ὁ πατριάρχης ἀπὸ τὴν ὑπερβολικήν του λύπην ἀρρώστησε συλλογιζόμενος μάλιστα ὄχι μόνον τοὺς ἀκανονίστους τρεῖς προβιβασμοὺς εἰς τρεῖς ἐπαρχίας ἐπὶ τῶν ἡμερῶν του, τὸ ὁποῖον ἦτο βέβαια κατηγορία καὶ ἀτιμία του, ἀλλὰ καὶ τὴν ζημίαν τῆς Ἐκκλησίας, διατί καὶ ἀπὸ τὴν Φιλιππούπολιν καὶ Ἄρταν καὶ Ἀδριανούπολιν ὀλίγιστον ὠφελήθη ὁ Οἰκουμενικὸς θρόνος εἰς τὸ ἐπιφορτισμένον πολὺ χρέος του, καὶ ἐπῆραν τὸ κέρδος τῆς Ἐκκλησίας ἀδίκως καὶ παραλόγως οὐ μόνον ἀλλοεθνεῖς ἀλλὰ καὶ λαϊκοὶ χριστιανοί, ἐξ αἰτίας τοῦ Νικομηδείας Μελετίου. Ὡς τόσον τὰ πάθη τῆς ψυχῆς, κατὰ τοὺς κανόνας τῆς ἰατρικῆς, αὐξάνωντας τὴν ἀσθένειαν τοῦ Σωφρονίου, μετεβλήθη ὁ πυρετός του ἀπὸ συνεχῆ εἰς κακοήθη, καὶ τέλος ἀπέθανεν· ἄξιος καρπὸς τῆς κακεντρεχείας τοῦ Μελετίου! Ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν Ἀρχαγγέλων τῷ κατὰ τὸ Μέγα-Ῥεῦμα, ἤτοι Ἀρναούτκιοϊ. Τούτου πατρὶς ἦν τὸ ἐν τῇ Εὐφρατησίᾳ τῆς Συρίας Κιλίσι, κείμενον παρὰ τῷ Χαλέπι.

ΚΕΦ. Ε'.

Πατριαρχεία Γαβριὴλ τοῦ Γ' τοῦ ἀπὸ Παλαιῶν Πατρῶν.

Θανόντος τοῦ Οἰκουμενικοῦ πατριάρχου Κὺρ Σωφρονίου, ψήφῳ καὶ δοκιμασίᾳ κοινῇ ἐξελέχθη Γαβριὴλ ὁ Γ' ὁ Σμυρναῖος, ὁ ἀπὸ Παλαιῶν Πατρῶν, καὶ μεταπεμφθεὶς ἐκεῖθεν μετετέθη εἰς τὸν πατριαρχικὸν Οἰκουμενικὸν θρόνον τῇ ιϛ' τοῦ Δεκεμβρίου.

Ὁ ἡγεμὼν τῆς Μολδαβίας Κωνσταντῖνος Δημητρίου Μουρούζης προβάλλει εἰς τὴν Πόρταν τὸ ὅτι ἐπειδὴ καὶ τὸ μιρὶ τῆς Μολδαβίας εἶναι ὀλίγον (ἤτοι πουγγεῖα 134 καὶ γρόσια 30 ἀνὰ ἔτος), ὁ γενόμενος αὐθέντης νὰ πληρώνῃ, ἔξω ἀπὸ τὸ συνειθισμένον παλαιὸν μιρὶ, τὸν μὲν πρῶτον χρόνον τῆς αὐθεντείας του εἰς τὸν ζαρπχανὲν πουγγεῖα 300, τοὺς δὲ ἄλλους πρὸς πουγγεῖα 250, καὶ γενομένης νέας τριετίας νὰ γίνωνται πάλιν τὰ αὐτὰ μέχρι συντελείας αἰώνων.

Ὁ αὐτὸς ἡγεμὼν ἐρμηνεύει προσέτι τὸν βεζίρην νὰ κτισθῇ κάστρον περιεκτικώτατον καὶ μέγιστον εἰς τὸ Ἰσμαήλι ὁποῦ μὲ τὴν μεγάλην του περιοχὴν νὰ περικλείῃ ὑπέρπολλα μαγαζεῖα διὰ κάθε εἴδους ζαχιρὲ καὶ μ ο υ χι-

μ α τ ί ω ν διαφόρων, καὶ νὰ περιέχῃ καὶ κισλᾶδες πολλοὺς διὰ νὰ παραχειμάζουν ἐκεῖ τὰ στρατεύματα εἰς καιρὸν πολέμου, καὶ προβάλλει τὸ νὰ ζητήσουν διὰ τὰ ἔξοδα τῆς οἰκοδομῆς αὐτῆς ἀπὸ μὲν Βλαχίας πουγγεῖα 300, ἀπὸ δὲ Μολδαβίας πουγγεῖα 150. Τὰ ἄσπρα αὐτὰ κακὸν καὶ ζημία εἰς τοὺς πτωχούς· ἀμὴ τὸ οὐδὲν ὡς πρὸς τὰς ζημίας, ἐνοχλήσεις, ἐπηρείας, βάρη καὶ ἀτιμίας φαμηλιῶν ὁποῦ θέλουν ἔχει οἱ δύο τόποι Βλαχίας τε καὶ Μολδαβίας ἀφοῦ τελειώσῃ τὸ κάστρον καὶ διορισθοῦν ἐν αὐτῷ τὰ εἰς τὰ σ ε ρ χ ά τ ι α διοριζόμενα κατὰ συνήθειαν γιαμάκια καὶ ὀρτᾶδες· μάλιστα ὁποῦ τὰ ἀπὸ τούτων κακὰ διὰ τὸ μέγεθος αὐτοῦ τοῦ κάστρου θέλουν ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὰ προξενούμενα ἕως τώρα ἀπὸ Βελιγράδι, Ἀδαϊκεπὶρ, Φετχισλάμι, Βιδίνι, Νικόπολι, Κοῦλε, Σιστόβι, Ῥουστζούκι, Γκίργκιοβο, Τορτοκαΐ, Δρύστρα, Χίρσοβα καὶ Ἰπραΐλα εἰς τὴν Βλαχίαν.

Τῷδε τῷ ἔτει ὁ αὐθέντης τῆς Βλαχίας Ἀλέξανδρος Ὑψηλάντης ἔκαμε μετόχιον τοῦ κατὰ τὴν Χάλκην προρρηθέντος μοναστηρίου τῆς Ὑπεραγίας Θεοτόκου τῆς Καμαργιότισας τὴν παρὰ τῷ Βουκουρεστίῳ ἐκκλησίαν λεγομένην Μαρικούτζαν, λαβὼν αὐτὴν παρὰ τοῦ κυριάρχου μητροπολίτου Οὐγγροβλαχίας Γρηγορίου, ἀλλαγῇ ἄλλων ἀκινήτων πραγμάτων διὰ τὴν μητρόπολιν. Περιέφραξεν οὖν αὐτὴν τείχει ὀχυρῷ καὶ ἀνήγειρεν ἐκ βάθρων καμπαναρεῖον, καὶ ᾠκοδόμησεν ἐν τῷ περιβόλῳ σπίτια αὐθεντικὰ καὶ ἡγουμενικὰ καὶ κελλία, μαγειρεῖον τε καὶ ἀρτοποιεῖον καὶ τραπεζαρεῖον καὶ μαγαζεῖον καὶ πίμνιτζαν, ἤτοι ὑπόγειον μαγαζεῖον κρασίου, καὶ ἱπποστάσιον καὶ προαύλιον τείχει περιτειχισμένον διὰ ἁμάξας καὶ λοιπὰ κινητὰ χρειώδη, καὶ ἀποθήκας διὰ ξύλα, ἄχυρα καὶ χόρτον. Ἀφωσιώσατο δὲ τῇ ἐκκλησίᾳ τὰ χρειώδη καὶ ἀναγκαῖα ἱερὰ ἄμφια καὶ βιβλία καὶ τὰ λοιπὰ ἀργυρᾶ χρειώδη σκεύη τε καὶ κανδήλας. Ἐπροίκισε δὲ τὸ μετόχιον αὐτὸ μὲ μωσίας καὶ ἀμπέλους καὶ ἐργαστήριά τινα τιτανόκτιστα, τὰ ἐπὶ τῆς ἐν Βουκουρεστίῳ γεφύρας τοῦ Σερπάν-βοδα καὶ πανδοχεῖον τιτανόκτιστον παρ' αὐτῇ.

Τούτῳ τῷ ἔτει ἀνήγειρεν ἐκ βάθρων ὁ αὐθέντης εἰς τὸ αὐτὸ Ἀφουμάτζι καὶ ἄλλο κιόσκι καταντικρὺ τοῦ προρρηθέντος, δίπατον, τὸ μὲν κάτω τιτανόκτιστον, καὶ τὸ ἄνω αὐτοῦ ξύλινον, καὶ περὶ τὸ κιόσκι οἰκίσκους ξυλοκτίστους πρὸς κατοικίαν τῶν προσκληθέντων δαιτυμόνων· καὶ περὶ τὴν ἐκκλησίαν κειμένην παρὰ τῷ αὐθεντικῷ οἴκῳ τῷ κατὰ τὸ Ἀφουμάτζι δέκα οἴκους τιτανοκτίστους, τὰ λεγόμενα κελλία, πρὸς κατοικίαν δέκα καλογραιῶν, καὶ ἄλλους τρεῖς πρὸς κατοικίαν τοῦ ἐφημερίου, κανδηλάπτου καὶ τῶν λοιπῶν δούλων τῆς ἐκκλησίας, εὐμεγέθους οὔσης.

Ἔκρινεν εὔλογον νὰ κάμῃ χρυσόβουλλον διὰ τὰ ἐν Βουκουρεστίῳ καὶ εἰς ἄλλα μέρη τῆς Βλαχίας κτήματα καὶ ἀκίνητα ὑπάρχοντά του καὶ οἰκοδομάς· ὅθεν διὰ προσταγῆς του συνεθέμην αὐτὸ ὡς ἐκ μέρους του οὕτω πως ἔχον.

« Ἔνεστι μὲν οὐκ ὀλίγοις ἀνθρώπων μετὰ τοῦ φιλογενοῦς καὶ τὸ ἐν πᾶσι » τοῖς καλοῖς προθυμεῖσθαι, διὰ τῆς ἀγαθοεργίας τε καὶ εὐποιΐας ὁμοιωθῆ» ναι τῷ θεῷ προαίρεσιν κεκτημένοις. Ταῦτ' ἄρα καὶ παρὰ τῷ θεσπεσίῳ

» ἀναγινώσκεται Μωϋσῇ, τὸ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα
» ἡμετέραν καὶ καθ' ὁμοίωσιν· (Γεν. κεφ. α', ἐδάφ. κς'.) Ἔνε-
» στι δὲ πάλιν καὶ τούτων αὐτῶν οὐκ ὀλίγοις οὐ μόνον τὸ γνώμης οὕτως
» οὐκ ἔχειν ἀλλὰ δὴ καὶ τὴν ἐναντίαν μᾶλλον ὑπὸ ἐθελοκακίας βαδίζειν.
» Τὸ μὲν γὰρ κατ' εἰκόνα, (δι' οὗ καὶ τῷ θεῷ παρατίθεται ἄνθρωπος
» κατά τε τὸ ἄρχειν καὶ τὸ δημιουργεῖν καὶ τὸ κρίνειν καὶ τὸ τοῦ ἀνθρω-
» πίνου νοὸς ἀπερίγραπτον, περινοστοῦντος ἐν ἀπαρεῖ καὶ τὰ ἑῶα καὶ τὰ
» ἑσπέρια καὶ τὰ βόρεια καὶ τὰ νότια καὶ τὰ ἐπουράνια καὶ τὰ ὑποχθόνια
» καὶ ἄλλα οὐκ ὀλίγα, ὡς ἀρχετύπου τελέθει μιμήματα, καὶ δημιουργῶν
» γὰρ ὁ ἄνθρωπος μιμεῖται ἀμηγέπως τὸν ποιητὴν, ὡς εἰκὼν τὸ ἀρχέτυ-
» πον, τῆς εἰκόνος ἐχούσης τὰ τοῦ ἀρχετύπου ἰνδάλματα, ὅρα τὴν ἁ πρὸς
» Κορινθίους, κεφ. ιά, ἐδαφ. ζ'·) ἐντελές τε καὶ ἀναλλοίωτον τῇ ἀνθρω-
» πίνῃ φύσει ἐγκατεσκευάσθη καὶ ἀμετάβλητον ἐξ ἀρχῆς καὶ ἐς τέλος συμ-
» πάρεστι. Τὸ δὲ καθ' ὁμοίωσιν, ἐπειδὴ δυνάμει τῷ ἀνθρώπῳ τέως μόνον
» ἐγκατεσπάρη, δεῖται πρὸς ἀποτέλεσμα τῆς πράξεως τὴν τοῦ λαβόντος
» προαίρεσιν, ἣν ἔλαβε παρὰ θεοῦ αὐτεξούσιον καὶ ἀκολούθως δυναμένην
» οὕτωσὶ ἐνεργεῖν, ὥστε ὁμοιωθῆναι ἡμᾶς τῷ θεῷ. Διχῇ οὖν διῃρημένου
» σύμπαντος τοῦ ἀνθρωπίνου συστήματος, καὶ τοῦ μὲν πρὸς σωτηρίαν τοῦ
» δὲ πρὸς ὄλεθρον φερομένου, πάντως γε ἀνδρὸς ἔργον ὀρθῶς νοοῦντος ἂν
» εἴη τὸ κατ' εἰκόνα τηροῦντος ἀλώβητον ὁμοιωθῆναι τῷ θεῷ διὰ τῆς
» εὐποιΐας, ἀγαθουργίας τε καὶ εὐεργεσίας.»

« Καὶ τοίνυν ταῦτα καὶ Ἡμεῖς ὁσημέραι κατὰ νοῦν καὶ ἐκ πρώτης ἀνα-
» πολοῦντες ἀφετηρίας καὶ ἐξ ἀπαλῶν ὀνύχων, εὐδοκίᾳ θεοῦ τῆς οὐγγρο-
» βλαχικῆς Ἡμῶν ταύτης ἡγεμονείας λαχόντες, πρόφασιν καὶ λαβὴν εὐθὺς
» εὕρομεν πρὸς εὐεργεσίαν τῶν δε τῶν ὑποχειρίων Ἡμῖν. Τοῦ γὰρ αὐτόχθο-
» νος ἐκ προγόνων Μιχαὴλ Μαγορεάνου εἰς ὑπερορίους τόπους ὅ τε παρρω-
» τάτῳ τῆς γειναμένης ἀπᾶραι μέλλοντος καὶ πωλῆσαι διὰ μετρητῶν πάντ-
» τας τοὺς ἐν τῇ Ἡμετέρᾳ ἡγεμονίᾳ ταύτῃ ἀγρούς τε καὶ κώμας καὶ ἀμ-
» πέλους σπουδάζοντος, προσετάγημεν ὑπὸ τῶν κρατούντων Ἡμᾶς ἐκτε-
» λέσαι ὅ τι τάχος τὴν πώλησιν διὰ μετρητῶν καὶ ἀζημίωτον πάντῃ τὸν ἄν-
» θρωπον ἀποπέμψασθαι. Πειθαρχοῦντες οὖν τῇ ὑπερεχούσῃ ἐξουσίᾳ ἠψά-
» μεθα μὲν τοὔργου, ἀλλ' εὕρομεν ἀμηχανοῦντας πάντας τοὺς αὐτόχθονας
» ἄρχοντάς τε καὶ ἰδιώτας πρὸς τὴν οὕτω ταχεῖαν τῶν χρημάτων ἀπότι-
» σιν, καὶ τρόπος οὐκ ἦν αὐτοῖς οὐδεὶς πρὸς καταβολὴν διὰ τὸ μὴ ἔχειν πό-
» θεν δανεισθῆναι, εἰμὴ δι' ἀναβολῆς χρόνων ἱκανῶν· διὸ καὶ ἐξελιπάρουν
» Ἡμᾶς χεῖρα βοηθείας ὀρέξαι αὐτοῖς καὶ λυτρώσασθαι τῆς ἐπικειμένης
» παρενοχλήσεώς τε καὶ ζημίας καὶ ἀγοράσαι τὰ πωλούμενα. Ἦν δὲ καὶ
» τὰ καθ' Ἡμᾶς τότε στενά τε καὶ οὐκ εὐρύχωρα· ἔμπης τοὺς ἱκέτας οἰκτεί-
» ραντες ἠγοράσαμεν παρ' αὐτοῦ ἐκ δανείων τό τε λεγόμενον Ἀφουμάτζι,
» κώμην τε οὖταν καὶ ἀγρὸν πολύμετρον, ἐπιγράψαντες αὐτὸ τῇ παμφιλ-
» τάτῃ Ἡμῶν δάμνῃ ὡς πληρεξουσίᾳ καὶ κυριαρχούσῃ τοῦ κτήματος· οὐ
» μὴν δὲ ἀλλ' ἠγοράσαμεν παρ' αὐτοῦ τούτου καὶ τὴν ἐν τῇ ἐπαρχίᾳ τοῦ
» Σακουένι κειμένην μωσίαν τὴν καὶ λεγομένην Μωσία μάρε, τόπον ὑ-

» πέρμετρον καὶ ἐν διαστήματι ὡρῶν οὐκ ὀλίγων ἐκτεταμένον κατά τε τὸ
» μῆκος καὶ τὸ πλάτος.»

« Τούτων οὖν οὕτω γενομένων κατὰ τὴν Βλαχίαν ἀνάγκης ἀγχίθυρον
» ἔδοξε βοηθείας ὀρέξαι χεῖρα καὶ πρὸς τὸ κατὰ τὴν Χάλκην, νῆσον τῆς
» Προποντίδος, ἱερὸν μοναστήριον τῆς Ὑπεραγίας Θεοτόκου τῆς ἐπιλεγομένης
» Καμαργιότισας, σταυροπήγιον μὲν τοῦ Ἀποστολικοῦ Οἰκουμενικοῦ θρόνου,
» οἰκοδόμημα δ' ἄλλως τελέθον τοῦ καὶ προπάππου τῆς παμφιλτάτης Ἡμῶν
» δόμνης Παναγιώτου Νικοσίου, μεγάλου Διερμηνέως τῆς κραταιᾶς τῶν Ὀ-
» θωμανῶν βασιλείας. Ὑπόχρεων γὰρ πρὸ χρόνων οὐκ ὀλίγων γεγονὸς καὶ
» τόκους ἐπὶ τόκοις καταβαλὸν, πτῶσίν τε εὖ μάλα ἐπαπειλούντων τα-
» χεῖαν τῶν τε περὶ τὴν ἐκκλησίαν οἴκων τε καὶ οἰκοδομῶν καὶ τοῦ κατὰ
» τὸν Γαλατᾶν μπακάλικου ἐργαστηρίου, μετεποιησάμεθα διὰ πατριαρχι-
» κοῦ καὶ συνοδικοῦ σιγγιλλιώδους γράμματος, κυριάρχαι καὶ πληρεξούσιοι
» γεγονότες, καὶ οὐ μόνον Ἡμεῖς ἀλλ' ὑπὸ θεῷ ἀῤῥωγῷ καὶ πάντες οἱ διά-
» δοχοι καὶ ἀπόγονοι Ἡμῶν μέχρι συντελείας αἰώνων. Αὐτῆς τε τῆς ἐκ-
» κλησίας σὺν ταῖς περὶ αὐτὴν καὶ τῇ κατὰ τὸν Γαλατᾶν πτῶσιν ἐπαπει-
» λούσαις οἰκοδομαῖς, καὶ τῶν περὶ τὸ μοναστήριον ἀγρῶν καὶ τόπων ὀρει-
» νῶν τε καὶ πεδινῶν, κατὰ τὰ λεγόμενα σενέτια αὐτοῦ ἀραβιστί τε καὶ
» τουρκιστὶ γεγραμμένα, οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν παρὰ τῇ Χάλκῃ νῆσον
» Πρώτην σὺν τῷ ἐπ' αὐτῇ σεσηπότι καὶ σεσαθρωμένῳ μοναστηρίῳ, ἐκκλη-
» σίᾳ τε καί τισιν οἰκοδομαῖς, ἅς τινας καὶ μάλα προσφυῶς ἐρείπια μᾶλλον
» ἂν εἴποι πᾶς τις ὁ καθορῶν ἢ κτήρια, κινδυνεύοντι πωληθῆναι παρὰ τοῦ
» κυριάρχου αὐτοῦ Ἀρμενίοις, ὡς ἀδυνατοῦντος πρὸς τὴν ἐπισκευὴν, καὶ
» θείᾳ παραχωρήσει διὰ τὴν τοῦ ἀνθρώπου ῥαστώνην τε καὶ τὸ ἀπρομήθευ-
» τον ἐσθ' ὅτε θέρους τε καὶ ἔαρος καὶ φθινοπώρου πορνοστασίῳ γιγνομέ-
» νῳ τῶν λεγομένων ποσταντζήδων, οἴκτῳ φερόμενοι διὰ τὴν ὀλέθριον καὶ
» ἐλεεινὴν αὐτοῦ κατάστασιν, ἠγοράσαμεν πράσει τελείᾳ μετὰ πάσης τῆς
» νήσου καὶ περιοχῆς αὐτῆς καὶ τῶν θαλασσίων ἀκτῶν τιμήματος δύο χι-
» λιάδων πεντακοσίων γροσίων, οὐκ ἀναλογοῦντος δηλαδὴ πρός τε τὸ ἀ-
» καλλιέργητον παντὸς τοῦ τόπου καὶ τὸ σεσηπὸς τοῦ μοναστηρίου, καὶ διὰ
» πατριαρχικοῦ τε καὶ συνοδικοῦ σιγγιλλιώδους γράμματος κυριάρχαι καὶ
» πληρεξούσιοι αὐτῆς ἀποκατέστημεν, οὐ μόνον Ἡμεῖς ἀλλὰ συναντιλαμ-
» βανομένου τοῦ κρείττονος καὶ πάντες ἁπαξαπλῶς οἱ διάδοχοι καὶ ἀπό-
» γονοι Ἡμῶν μέχρι συντελείας αἰῶνος.»

« Καταπεσεῖν οὖν ὅσον οὔπω δοκοῦντος τοῦ κατὰ τὸν Γαλατᾶν πακάλι-
» κου ἐργαστηρίου τοῦ προῤῥηθέντος, ἐκ βάθρων αὐτὸ ἀνηγείραμεν δι' ἐπι-
» στασίας καὶ ἐπιμελείας Ἡμετέρου ἄρχοντος πιστοῦ μὲν καὶ φόβῳ θεοῦ
» περιστοιχιζομένου, (ἐγὼ ὁ γράφων ἤμην ὁ ἐπιστάτης,) ἀλλὰ διὰ τὸ ἐποι-
» κοδομηθῆναι ἔκπαλαι τὸ κτήριον ἐπὶ πάλων ἐν βαθείᾳ θαλάσσῃ παγέν-
» των εἰς μῆκος πηχῶν εἴκοσι πρὸς τοῖς πέντε καὶ πλάτος πέντε καὶ δέ-
» κα, δεῆσαν μάλιστα ἀναγκαίως ἀνασπασθῆναι πάντας τοὺς προπαγέντας
» πάλους, ὡς ἤδη διὰ τὸ πολυχρόνιον σεσηπότας καὶ προσηλώσει ἄλλων
» τεμαχίων ἐπαυξηνθέντας καὶ ὑψωθέντας, καὶ τούτου τρὶς γενομένου κἀπὶ

» ταῖς τρισὶ ταύταις προσηλώσεσι τρὶς ἐπιστρωθέντων κατὰ σειρὰν ἄλλων
» ξύλων τῶν καὶ κιρτσλεμὲ τουρκικώτερον λεγομένων, κάπι τούτοις
» σανίδων πρὸς εὐμάρειαν τῆς βάσεως κατὰ σειρὰν τεθειμένων, καὶ τούτων
» πάντων διὰ τὸ πολυχρόνιον ἐν τῇ ὑποκειμένῃ καταβυθισθέντων, (διὰ γὰρ
» τὸ ἀπορεῖν χρημάτων τοὺς κατὰ καιρὸν ἡγουμένους, ἀμηχανοῦντας τὸ
» σύνολον πρὸς πρόσφατον καλοπηξίαν, ἔδει μὲν ἔδει χρῆσθαι τοιαύταις με-
» θόδοις ἐν τῇ ἐπισκευῇ τῶν ἐν θαλάσσῃ θεμελίων αὐτῶν τοῦ μοναστηρια-
» κοῦ τούτου ἐργαστηρίου, ἀλλὰ τῆς τοιαύτης ἐπισκευῆς ὁ καρπὸς ἐν μικρῷ
» τοῦ χρόνου διαστήματι παραταθεὶς ὑπὸ τοῦ ἐπικειμένου κατεβυθίζετο
» βάρους,) πρὸς νεοπαγίαν τοῦ θαλασσίου αὐτοῦ θεμελίου μετὰ πολλοῦ κό-
» που καὶ πολυχειρίας γεγονότος καὶ πρὸς τὴν ἐπ' αὐτῷ ἐπανεγερθεῖσαν ὕ-
» στερον οἰκοδομὴν ἕνδεκα οἰκίσκων διὰ δύο πατωμάτων, ὑπισχνουμένην
» διὰ τὸ ἀσφαλὲς καὶ τὸ σταθερὸν τοῦ τε θεμελίου καὶ τῶν ξύλων πολυ-
» χρόνιον τὴν παράτασιν, κατηναλώθησαν γρόσια τέσσαρες χιλιάδες καὶ
» ἐννεακόσια δέκα τρία.»

« Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀμπέλους ἠγοράσαμεν δύο τὰς κατὰ τὴν νῆσον
» τῆς Χάλκης, τὴν μὲν παρὰ τοῦ Σταμάτη, γρόσια 1,500, τὴν δὲ παρὰ
» τοῦ Μιρὰς-γεϊτζῆ γρόσια 500, ἀμφοτέρας πλησιέστατα τῷ μοναστηρίῳ
» κειμένας, καὶ ἀνεθέμεθα ταύτας αὐτῷ πρὸς χρῆσιν τῶν πατέρων.»

« Καὶ ταῦτα μὲν κατὰ τὰς νήσους τῆς Προποντίδος. Κατὰ δὲ τὴν Βλα-
» χίαν μετὰ τὰς παρὰ τοῦ Μιχάλη Μαγορεάνου ἀγορασθείσας μωσίας, χρείας
» ἀπαιτούσης τινῶν τῶν οἰκειοθελῶς τε καὶ μετὰ παρακλήσεων ἀπεμπω-
» λῆσαι σπουδαζόντων ἢ δι' ἔνδειαν ἢ ἄλλως πως δι' ἄλλην τινὰ αἰτίαν,
» ἠγοράσαμεν ἐν τῷ διαστήματι ταυτησὶ τῆς κατὰ τὴν Ἡμετέραν ἡγεμο-
» νείαν σχεδὸν ἑξαετίας τὰς ἑξῆς μωσίας, ἐπιγράψαντες αὐτῶν ἃς μὲν ἐπὶ
» τῷ Ἡμετέρῳ ὀνόματι, ἃς δὲ ἐπ' ὀνόματι τῆς παμφιλτάτης Ἡμῶν δόμνης,
» ἄλλας τε ἐπ' ὀνόματι τῶν φιλτάτων Ἡμῶν πεϊζσδέδων, οἷον τὴν μωσίαν
» τῆς Ζίμνιτζας ἀντικρὺ τοῦ * * * κειμένην, παρὰ τοῦ Κρετζουλέσκου,
» ἔνθα ἀνηγέρθη ἐκ βάθρων καὶ πανδοχεῖον πρὸς κατάλυμα τῶν ὁδοιπό-
» ρων.» (Τὰς δὲ λοιπὰς δὲν μὲ τὰς ἐδηλοποίησε τὸ ὕψος του.)

« Πρὸς δὲ καὶ τῆς ἐκκλησίας τῆς ἐπιλεγομένης Μαρικούτζας, ὥρας δια-
» στήματι τοῦ Βουκουρεστίου ἀπεχούσης καὶ πρὸς μεσημβρίαν αὐτοῦ κει-
» μένης, νομίμως τε καὶ δικαίως ἀντιποιησάμενοι καὶ ἐκ βάθρων ἀνεγείραν-
» τες τὰ περὶ αὐτὴν τείχη τε καὶ οἴκους κατωγείους τε καὶ ἀνωγείους καὶ
» καμπαναρεῖον καὶ μαγειρεῖον καὶ ἱππόσταθμον καὶ λοιπὰ οἰκοδομήματα,
» τιτανόκτιστα πάντα διά τε ἀσφάλειαν καὶ πολυετῆ διαμονὴν καὶ παρά-
» τασιν, καὶ μοναστήριον δι' αὐτῶν ταύτην ἀποκαταστήσαντες, καὶ κτή-
» τορες αὐτοῦ μάλα δικαίως ὄντες ὡς ἐξ ἰδίων ἱδρώτων τε καὶ πόνων κα-
» ταδαπανήσαντες τὰ κατ' αὐτὴν καὶ προικίσαντες ἀφοσιώμασί τισί τε καὶ
» εἰσοδήμασιν, ἀνεθέμεθα τῷ κατὰ τὴν Χάλκην τῆς Ὑπεραγίας Θεοτόκου
» αὐθεντικῷ Ἡμῶν μοναστηρίῳ, μετόχιον αὐτὸ ἐκείνου ἀποκαταστήσαντες,
» καὶ ἀποφηνάμενοι ἵνα ἐκ τῶν παρ' Ἡμῶν διορισθέντων τε καὶ ἀφιερωθέν-
» των ἀναθημάτων διασώζηται μὲν ἡ καλλονὴ τῆς ἐκκλησίας, διδομένων

» τῶν ἐτησίων μισθῶν τῶν τε ἐφημερίων καὶ τῶν ψαλτῶν καὶ λοιπῶν τῶν
» ἐν τῷ ναῷ δουλευόντων, ἀκαταπαύστως ἐν αὐτῇ ἐκτελουμένης τῆς ἀναι-
» μάκτου θυσίας, τρέφωνται δὲ αὐτοί τε καὶ οἱ ἐν τῷ μοναστηρίῳ ἐξασκού-
» μενοι πατέρες κατὰ τοὺς μοναστηριακοὺς κανόνας καὶ τάξεις τε καὶ ἔθι-
» μα· τὰ δὲ λειπόμενα τῶν εἰσοδημάτων διωρίσαμεν ἀποπέμπεσθαι ἀνὰ ἔ-
» τος τῷ ῥηθέντι Ἡμῶν κατὰ τὴν Χάλκην αὐθεντικῷ μοναστηρίῳ πρὸς
» τροφήν τε καὶ πληρωμὴν χρησιμεύσοντα τῶν τε διδασκάλων καὶ μαθη-
» τῶν τοῦ ἐν αὐτῷ συστηθησομένου ἑλληνομουσείου τε καὶ σχολῆς, ὡς δια-
» λαμβάνει καὶ τὸ παρ' Ἡμῶν ἐκδοθὲν χρυσόβουλλον τῷ ἱερῷ μοναστηρίῳ
» τῆς Μαρικούτζας, ἐν ᾧ καταγράφονται τὰ παρ' Ἡμῶν ἀφιερωθέντα τῇ
» ἱερᾷ ταύτῃ μονῇ καὶ πᾶσαι αἱ περὶ τὸ ἱερὸν αὐτὸ μοναστήριον διατάξεις
» τε καὶ ἀποφάσεις Ἡμῶν, ἅς τινας καὶ ἀμετατρέπτους τε καὶ ἀμεταβλή-
» τους, ἀπαραβάτους τε καὶ ἀπαραμειώτους διαμένειν ἀποφαινόμεθα εἰς
» αἰῶνα τὸν ἅπαντα.» (Ἐμαζιλεύθη καὶ οὐ μόνον σχολεῖον δὲν ἐσύστησεν,
ἀλλ' οὐδὲ τὸ μοναστήριον τῆς Παναγίας πτῶσιν ἐπαπειλοῦν δὲν ἐπεσκεύασεν·
εἰς τὴν μανζιλίαν ὅμως τὸ ἔκτισε μὲ οἰκίσκους διὰ μαθητάς.)

« Πρὸς δὲ καὶ ἡ παμφιλτάτη Ἡμῶν δόμνα ἐν τῇ μωσίᾳ τοῦ Ἀφουμα-
» τζίου ἀνεγείρασα ἐκ βάθρων παρὰ τῇ ἐκκλησίᾳ δέκα οἰκίσκους, διώρισε
» καὶ ἀπεφήνατο ἔχειν αὐτοὺς δέκα πτωχὰς, τρέφεσθαί τε καὶ ἐνδύεσθαι
» ἐκ τῶν εἰσοδημάτων τῆς τοῦ ῥηθέντος Ἀφουματζίου μωσίας αὐτάς τε
» καὶ τοὺς πρὸς καλλονὴν τῆς παρακειμένης ἐκκλησίας καὶ πρὸς ἐκτέλεσιν
» τοῦ Μυστηρίου τῆς καθημερινῆς λειτουργίας ἀναγκαίους ἱερεῖς τε καὶ ψάλ-
» τας, λαμπάδας τε καὶ ἔλαιον καὶ ἄλλα χρειώδη τε καὶ ἀναγκαῖα τῇ ἐκ-
» κλησίᾳ, ὁρίσασα καὶ ἀποφηναμένη ὅτι διὰ τροφὴν καὶ ἐνδυμασίαν τῶν
» δέκα αὐτῶν πενομένων γυναικῶν καταναλίσκεσθαι ἀνὰ ἔτος γρόσια πεν-
» τακόσια, καὶ ἑκατὸν διὰ πληρωμὴν ἐφημερίου καὶ ψάλτου καὶ τῶν λοι-
» πῶν. Τὰ δὲ περιττεύοντα τοῦ εἰσοδήματος τῆς μωσίας καρπώσεται ἡ Ἐ-
» κλαμπρότης Αὐτῆς παρὰ πάντα τὸν βίον, (ὃν ὁ Κύριος Αὐτῇ ἐπιμήκιστον
» χορηγήσοι,) εἶτα δὲ καρπώσονται αὐτὰ οἱ ἀπόγονοι καὶ διάδοχοι Ἡμῶν
» ἀπὸ γενεᾶς εἰς γενεὰν εἰς αἰῶνα τὸν ἅπαντα.»

« Καὶ οὐ μόνον τὸ ἐναπολειφθὲν τοῦ εἰσοδήματος τῆς μωσίας Ἀφουμά-
» τζι, ἀλλὰ δὴ καὶ ἅπαν τὸ εἰσόδημα πασῶν τῶν ἀπαριθμηθεισῶν καὶ
» προειρημένων μωσιῶν Ἡμῶν εἰς ἓν συναχθήσεται παρὰ τοῦ κατὰ καιρὸν
» μεγαλητέρου καὶ προβεβηκότος τὴν ἡλικίαν ἐν πᾶσι τοῖς ἀπογόνοις τε
» καὶ κληρονόμοις καὶ διαδόχοις Ἡμῶν· καὶ μετὰ τὸ διανεῖμαι τοῖς ἐν Κων-
» σταντινουπόλει διορισθεῖσι πέντε πτωχοῖς ἑνὶ ἑκάστῳ αὐτῶν τὸν ἐτήσιον
» λουφὲν, κατὰ τὴν ὡρισμένην τῶν γροσίων ποσότητα, τὸ λειπόμενον τοῦ
» εἰσοδήματος ὀφείλει ἀναντιρρήτως, ἀναποσπάστως τε καὶ ἀδόλως καὶ εἰ-
» λικρινῶς διανέμειν ἐτησίως ἑνὶ ἑκάστῳ ἐξ ἴσου πάντων τῶν ἀπογόνων,
» κληρονόμων τε καὶ διαδόχων Ἡμῶν. Διὸ δὴ καὶ πάσας Ἡμῶν αὐτὰς τὰς
» μωσίας, μικράς τε καὶ μεγάλας, (πλὴν τῶν ἀφοσιωθέντων τῷ ἱερῷ μονα-
» στηρίῳ τῆς Μαρικούτζας,) ἀνεθέμεθα καὶ ἀφιερώσαμεν εἰς τοὺς ῥηθέντας
» ἐν Κωνσταντινουπόλει πτωχοὺς, καὶ ἵνα τουρκικώτερον εἴπωμεν, ἐποιή-

» σαμεν αὐτὰς β ά κ φ ι εἰς αὐτοὺς, ἐπιστάτην τε καὶ, τουρκικώτερον εἰπεῖν,
» ν α ζ ί ρ η ν εἰς αὐτὸ τὸ βάκφι διορίζομεν τὸν μεγαλήτερον καὶ προΰχον-
» τα τὴν ἡλικίαν ἐν πᾶσι τοῖς ἀπογόνοις τε καὶ κληρονόμοις καὶ διαδόχοις
» Ἡμῶν· ὅστις ὀφείλει συναθροίζειν ἐτησίως ἄνευ τινὸς δόλου καὶ πλεονε-
» ξίας ἅπαν τὸ εἰσόδημα τῶν προειρημένων μωσιῶν, καὶ μετὰ τὸ διανεῖ-
» μαι τοῖς ῥηθεῖσι πτωχοῖς τὸν διορισθέντα ἐτήσιον αὐτοῖς λουφὲν διὰ τρο-
» φήν τους, τὸ ἐναπολειφθὲν τοῦ εἰσοδήματος τοῦ ἐτησίου ὀφείλει διανέ-
» μειν ἐξ ἴσου ἀναποσπάστως καὶ ἀναντιρρήτως ἄνευ τινὸς δόλου καὶ πλεο-
» νεξίας πᾶσι τε καὶ ἑνὶ ἑκάστῳ πάντων τῶν ἐν τῷ ζῆν ὄντων ἀπογόνων
» τε καὶ κληρονόμων καὶ διαδόχων Ἡμῶν εἰς αἰῶνα τὸν ἅπαντα, ὡς δια-
» λαμβάνει καὶ ἀποφαίνεται καὶ ὁ β α κ ι φ ν α μ ὲ ς Ἡμῶν, ἐν ᾧ καὶ συμπε-
» ριλαμβάνεται τὸ ὅτι τὰ κατὰ τὴν πάτριον καὶ ἐγχώριον ῥωμαϊκήν τε καὶ
» βλαχικὴν γλῶτταν ἔγγραφα καὶ σενέτια, δι' ὧν ἀποκαθιστάμεθα κυριάρ-
» χαι τε καὶ πληρεξούσιοι πάντων αὐτῶν τῶν κτημάτων Μας, δέον ἔχειν
» τὸ κῦρος ἐν παντὶ κριτηρίῳ.»

« Ταῦτα πάντα μετὰ πολὺν στοχασμὸν, κρίσιν τε καὶ ἔρευναν κρίναντες
» καὶ ἐπικρίναντες καὶ διακρίναντες ἀποφαινόμεθα, βεβαιοῦμεν καὶ ὁρίζο-
» μεν, προστάττοντες πᾶσι τοῖς κληρονόμοις, διαδόχοις τε καὶ ἀπογόνοις
» Ἡμῶν ἵνα φυλάττωσιν αὐτὰ ἀμετάβλητα, ἀπαρασάλευτα καὶ ἀμετάτρε-
» πτα παρὰ πάντα τὸν βίον αὐτῶν μέχρι καταβολῆς κόσμου, καὶ τοὺς πα-
» ραβαίνοντας ἢ μεταλλάττειν τι ἢ μικρὸν ἢ μέγα τολμήσοντας ἀραῖς ὑ-
» ποβαλόντες θεοστυγέσι ταῖς πατρικαῖς. Οὐ μὴν δὲ ἀλλὰ καὶ ὅστις τῶν
» ἁπάντων, ἢ τοῦ λαϊκοῦ ἢ τοῦ ἱερατικοῦ καταλόγου, ἢ μικρὸς, ἢ μέγας,
» ἢ ἄρχων, ἢ ἀρχόμενος, ἢ αὐτόχθων, ἢ ξένος, ἢ συγγενὴς, ἢ μὴ τοιοῦτος,
» τολμήσειέ ποτε ἢ διασεῖσαι, ἢ παραμειῶσαι, ἢ διαφθεῖραι, ἢ μεταβαλεῖν,
» ἢ ἀλλοιῶσαί τι τῶν ἀνωτέρω, ἢ μικρὸν ἢ μέγα, ἐχέτω τὰς διὰ τοῦ Πα-
» νιερωτάτου Ἁγίου Οὐγγροβλαχίας καὶ τῶν περὶ αὐτὸν Ἁγίων ἐπισκόπων
» ἐκφωνηθείσας τε καὶ ὑπογραφείσας ἀρὰς ἔν τε τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ
» μέλλοντι.»

—

Ἔτει σωτηρίῳ 1781.

Θνήσκει ἀπὸ διαβήτην ὁ βεζίρης Σαχὶδ-Μεχμὲτ-πασσᾶς κατὰ τὴν ἰ τοῦ Φεβρουαρίου, καὶ μεταπεμφθεὶς ἀπὸ τὸ Ἐρζρούμι, ἤτοι Θεοδοσιούπολιν, ἔγινε βεζίρης τὸ δεύτερον ὁ Ἰζὲτ-Μεχμὲτ-πασσᾶς, ἀγαγὼν αὐτὸν ἀπὸ τὸ Ἐρζρούμι ὁ σιλιχτάρης τοῦ βασιλέως.

Οὗτος ἔδωκε ῥουχσάτι τῷ Παχαδοὺρ-Γκιραΐ, καθημένῳ εἰς τὰ βουνὰ τῆς Τζερκεζίας, νὰ ἐφορμήσῃ εἰς τὸ Κρίμι μὲ στρατὸν Τζερκέζων καὶ Ἀμπαζάδων, ὅσον ἤθελεν ἠμπορέσει περισσότερον, καὶ νὰ διώξῃ ἐκεῖθεν τὸν καὶ ἀδελφόν του χάνην Σαχὶν-Γκιραΐν, νὰ τὸν ζωγρήσῃ ἂν ἠμπορῇ ἢ καὶ νὰ τὸν φονεύσῃ, καὶ νὰ γίνῃ αὐτὸς χάνης. Ἔφερεν εἰς τὸ Πέϊκοζ καὶ τὸν Ἔγκιουρ-βαλισὴ, ἰκὶ-τουϊλοὺ πασσᾶν, τὸν ἔδωσε πουγγεῖα ἄσπρα 150, καὶ ἐν

ὑδριώτικον καΐκι γεμάτο ἀπὸ παρούτι, τουφέκια καὶ σπαθιὰ καὶ μὲ ἓξ ἀνθρώπους ὁποῦ ἠξεύρουν νὰ κατασκευάζουν παρούτι, καὶ τὸν ἔστειλεν εἰς τὸ Σουτζάκι διὰ νὰ στρατολογήσῃ καὶ αὐτὸς καὶ νὰ βοηθῇ καὶ νὰ συμμαχῇ τὸν Παχαδοὺρ-Γκιράϊν διὰ νὰ γένῃ χάνης· ἐγένετο ταῦτα κατ' ἀρχὰς τοῦδε τοῦ ἔτους. Ὅθεν τὸν Ἀπρίλιον εἰσελθὼν ὁ Παχαδοὺρ-Γκιράϊς μὲ 29 χιλιάδες στρατοῦ ἀπαζοτζερκέζικου εἰς τὸ Κρίμι ἐδίωξε τὸν ἀδελφόν του Σαχὶν-Γκιράϊν ἀπὸ τὸ Παχτζὲ-σαράϊ, ἐκάθισεν αὐτὸς χάνης, καὶ ὁ Σαχὶν-Γκιράϊς κατέφυγεν εἰς τοὺς Μοσχόβους εἰς τὸ Γενὶ-καλέ. Ἔδωκε τὴν εἴδησιν ὁ Παχαδοὺρ-Γκιράϊς διὰ τὸ χανλίκι του εἰς τὴν Πόρταν ζητῶν βοήθειαν διὰ σύστασίν του· ἔστειλε καὶ ἀνθρώπους ὡς ἐκ μέρους τῶν Ταρτάρων ζητούντων μὲ μαγζάρι τὴν αὐτὴν βοήθειαν. Οἱ ἐν τῷ Κρίμι Μοσχόβοι μὴ ἔχοντες ο ὐ κ ά ζ ι, ἤτοι προσταγὴν, νὰ σηκώσουν ἅρματα δὲν ἐπολέμησαν κατὰ τοῦ Παχαδοὺρ-Γκιράϊ, ἀλλ' ἔδωκαν εἴδησιν τῶν γεγονότων τῇ βασιλίσσῃ Αἰκατερίνῃ Β'· ὁ πρέσβυς ῥοῦσσος κατὰ τὴν προσταγὴν τῆς βασιλίσσης του παρεπονέθη εἰς τὴν Πόρταν δι' αὐτά. Τὸν εἶπαν ὅτι δὲν ἔχουν εἴδησιν καὶ ὅτι χωρὶς τὸ θέλημά τους τὸ κίνημα αὐτὸ τοῦ Παχαδοὺρ-Γκιράϊ· ἀλλ' ἐπειδὴ καὶ οἱ Τάρταροι λέγουν πῶς δὲν θέλουν τὸν Σαχὶν-Γκιράϊν καὶ ἐδέχθησαν ἤδη εἰς χάνην τὸν Παχαδοὺρ-Γκιράϊν, ὡς ἐλεύθεροι καὶ κύριοι τῆς ἐκλογῆς, δὲν πρέπει εἰς αὐτὸ νὰ ἀνακατωθῇ οὔτε ἡ Ῥουσσία οὔτε ἡ Πόρτα. Ἐγένοντο μουκιαλεμέδες τοῦ ῥεΐση καὶ τοῦ ἐλτζῆ μοσχόβου περὶ τούτων δὶς καὶ τρὶς, ἀλλ' ἀνωφελῶς. Ὡς τόσον κατὰ τὴν προσταγὴν τῆς βασιλίσσης ἦλθον ῥουσσικὰ καράβια εἰς τὰ νερὰ τοῦ Κριμίου, καὶ ἐφάνη παρὰ τῷ Προκόπι καὶ στράτευμα ῥουσσικὸν πρὸς βοήθειαν τοῦ Σαχὶν-Γκιράϊ. Ἐγένοντο δὶς μουσαβερέδες εἰς τὸ Πασσᾶ-καπισὶ πολυαρίθμου εἴδους ῥετζάληδων· ἔκλιναν αἱ γνῶμαι νὰ δεφενδευθῇ ὁ Παχαδοὺρ-Γκιράϊς. ὁ ἐλτζὴς εἶπε τὸ, «βοηθήσατε σεῖς τὸν ἰδικόν σας καὶ ἡμεῖς τὸν ἰδικόν μας·» ἀλλ' οὔτ' αὐτὸ δὲν τὸ ἔστερξαν.

Ὁ γυναικάδελφος τοῦ βεζίρη Τζελεπὴ-ἀγᾶς κατεγίνετο μεγάλως εἰς ἁρπαγὰς, καὶ ἠδικοῦντο οἱ ἄνθρωποι παρὰ τῶν ἀδικούντων διὰ τὰς πολλὰς δωροδοκίας ὁποῦ ἔδιδον τῷ Τζελεπῇ-ἀγᾷ. Ὡς τόσον τὸ πλῆθος δυσηρεστεῖτο διὰ τὰς ἁρπαγάς του κατηγοροῦντες τὸν βεζίρην καὶ διὰ τὴν ἄδειαν ὁποῦ τοῦ δίδει εἰς τὰ τοιαῦτα καὶ διὰ τὰς μετὰ τῶν Μοσχόβων συγχήσεις, εἰς τὰς ὁποίας καὶ δὲν εἶχον κλίσιν, καὶ ἀπέφευγον τὸν πόλεμον οἱ φρόνιμοι συλλογιζόμενοι τὸν ἀφανισμὸν τῶν ἐπαρχιῶν τους καὶ τὴν ἀνυποταξίαν καὶ ἀπαιδευσίαν τῶν στρατιωτῶν τους.

Οἱ Ῥοῦσσοι Τζερκέζους καὶ Ἀπαζᾶδες ἄφιναν νὰ εἰσέλθουν εἰς τὸ Κρίμι ὅσοι ἤθελαν, ἀμὴ κάνένα ἀπὸ αὐτοὺς νὰ ἔβγῃ ἔξω δὲν ἐσυγχωροῦσαν. Ὡς τόσον δύο σαΐκας μὲ ζαχιρὲν φορτωμένας διὰ τὴν Πόλιν τὰς ἐβούλησαν τὰ μοσχόβικα καράβια, καὶ τὴν τρίτην τὴν ἐσακάτευσαν μὲ τὴν πόμπαν καὶ ἦλθε βεβλαμμένη εἰς τὴν Πόλιν.

Τέλος πάντων ὁ Παχαδοὺρ-Γκιράϊς ἀπελπισθεὶς ἀπὸ τὴν βοήθειαν τῆς Πόρτας καὶ κατιδὼν ὅτι ἔξω τοῦ Κριμίου παρὰ τῷ Προκόπι ἐμαζώχθη στράτευμα πολὺ ῥουσσικὸν, καὶ ἀπὸ τὸ Κρίμι κάνένα δὲν ἀφίνουν οἱ Μοσχόβοι

